1174—1177 Et. M. 368. 33 ἐ π ω π ί δ α· εἰ μὲν δασύνεται, σημαίνει τὴν ἀκόλουθον, εἰ δὲ ψιλοῦται, τὴν ἐπίσκοπον, διὰ τοὺς ὦπας. *V*: ὦ — ἐ π ω π ί δ α. στίχοι ἰαμβεῖοι τοῦ *Λ*. Mill. Mél. 124: Π ε ρ σ έ ω ς — β ρ ο τ ο ύ ς 1175 δὲ om.

1176 φθήσεται 1177 κλάγγεσιν ταρφόσσουσαν ἐννύχους. s 1186 τ ρ ι α ύ χ ε ν ο ς· τῆς Ἑκάτης, ἣν ἄνω τρίμορφον εἶπεν.

1177 vide s.

1187 Et. M. 561. 51 λ ε υ σ τ ῆ ρ α· τὸν λιθοβόλον. *Λ*. *V* addit versum Lycophronis sic ut in textu exhibitus est. λ. οὕνεκ᾽ ἔριψε πρῶτος π. Zon. 1293. λ. π ρ ῶ τ ο ν οὕνεκ᾽ ἔρριψας π. Mill. Mél. 204.

1238. 1239 Steph. Ἀ λ μ ω π ί α· χώρα τῆς Μακεδονίας, ἣν ᾤκουν Ἄλμωπες. *Λ*. ἐκ — Τ υ ρ σ η ν ί α. παλιμπλανίτην *R* παλημπανίτην *Π* τυρσηνίων *V*.

1254 Steph. Δ α ύ ν ι ο ν· πόλις Ἰταλίας. *Λ*. ὑ π ὲ ρ Δ α κ ί ο υ Δ α υ ν ί ο υ τ᾽ ᾠ κ ι σ μ έ ν η (sic).

1264 Et. G. 429. 28 Ὀ μ π ν ί α· ἡ Δημήτηρ παρὰ τὸ ὁμοῦ πνέω. *Λ*. κ α ὶ — κ ε ι μ η λ ί ω ν.

Et. M. 625. 45 ὀ μ φ α λ ό ς· — ὅθεν καὶ τὴν Δήμητραν, τρόφον οὖσαν Ὀμπνίαν ὀνομάζουσι Κυριανοί[1]) [ὡς παρὰ *Λ*. κ α ὶ — κ ε ι μ η λ ί ω ν] τὴν συντελοῦσαν πρὸς τὸ ζῆν —.

Verba uncinis inclusa aliena sunt ab hoc loco.

1283. 1284 schol. Dion. Per. 270 ὠνομάσθαι δὲ τὴν χώραν ἐξ Εὐρώπης φασὶ τῆς Φοινίκης, ὥς φησι *Λ*. τ ί — Σ α ρ π η δ ό ν ο ς. 1284 τοῦ ut deterrima familia codicum.

1) v. Gaisf. a. l.

Et. M. 397. 41 *Εὐρώπη*· ἀπὸ μητρὸς Μίνωος καὶ Ῥαδαμάνθυος καὶ Σαρπηδόνος. *Λ.* *VM*: τῇ (sic) — *Προμηθέως.* τοῦ. Mill. Mél. 136 τῇ (sic) — *Σαρπηδόνος* συμπέφυκε ξυνὸν πέφυκε om.

Et. M. 153. 29 *Ἀσία*· Προμηθέως μήτηρ ἡ Ἀσία, ὡς *Λ.* Mill. Mél. 47: τί — *Σαρπηδόνος.*

1291 Steph. *Κάρνη*· — ὁ πολίτης Καρνίτης. *Λ.* sequitur totus versus: ὄλοντο *R* ὄλον τὸ *VII.*

1308 Et. M. 143. 56 *Ἀρίσβη*· πόλις, ἀπὸ Ἀρίσβας, θυγατρὸς Τεύκρου, ἣν ἔγημε Δάρδανος. *Λ.* γήμας — κόρην. ἀρίσβην.

1309 Steph. *Ἄτραξ* καὶ *Ἀτρακία*· — τὸ ἐθνικὸν Ἀτράκιος καὶ θηλυκὸν Ἀτρακία, καὶ Ἄτραξ ὁμόφωνον τῇ πόλει. *Λ.* καὶ δευτέρους ἔπεμψαν Ἄτρακας λύκους.

1312 Steph. *Κύτα*· πόλις Κολχική, πατρὶς Μηδείας — τὸ θηλυκὸν Κυταιΐάς. καὶ Κυταία, *Λ.* sequitur totus versus. οἱ Λιβυστῖνοι γὰρ ἔθνος παρακείμενον Κόλχοις. λικυστίνην *V* μολὼν *V.*

Suo loco verba καὶ Κυταία — μολών esse mota manifestum est: sed temere Mein. coniecit non Stephani ea esse. rectius sequentia οἱ *Λ.* — Κόλχοις e voce Λιβυστῖνοι huc esse translata iudicat.

1320 vide test. 594. εἰδώλων χαονικῶν *V.*

1342 Steph. *Γαλάδραι*· πόλις Μακεδονίας ἐν Πιερίᾳ. *Λ.* (1444) — ὁ πολίτης Γαλαδραῖος. *Λ.* ταὶ Γαλαδραῖον πέδον. τὸ κτητικὸν ἔδει εἶναι Γαλαδραϊκόν· Πολύβιος δὲ ἐν τῷ ιγ̄ Γαλαδρικόν φησι.

Patet Stephanum ipsum Γαλαδραίων scripsisse.

1355 Steph. *Ἄγυλλα*· πόλις Τυρρηνίας. *Λ.* sequitur totus versus: εἰσεκώμασεν.

1385. 1386. 1387 Et. G. 302. 45 *κασσωρίς*· ἡ πόρνη, ἡ κατωφερής. κασσαβάς λέγεται ἡ πόρνη παρὰ τὸ καλεῖν καὶ σοβεῖν· ἐξ αὐτῆς γὰρ κατὰ παρασχηματισμὸν κασωρίς. *Λ.* ὅταν — τελεῖν. 1385 κασωρὶς ἐπείσιον 1387 κηλοστὰ βαρβάρων.

βαρβάρων item deterrima familia codd. praebet. pertinet ad id genus vitiorum de quo egi praef. pag. XV.

Mill. Mél. 178 *κασσωρίς*· κασωρίς (sic) — ὑλακτήσασα ἐπεί-

σιον corruptissime cod. 2720 in Cram. A. P. IV 55. 4 *κασσαβάς· — κασσωρὶς εἰς ἐπίσιον χλεύειν ὑλακτίσασα.*

1389 Steph. *Κύτινα· πόλις Θεσσαλίας, ὡς Θέων ἐν ὑπομνήματι Λυκόφρονος. ὁ πολίτης Κυτιναῖος.*

1390 Steph. *Θίβρος· πόλις. Λ. οἳ Θίβρον οἰκήσουσι Σάτνιόν τ' ὄρος.*

1393 vide test. 771. *λαμπυρίδος* praeter *V.*

1404 Steph. *Φλέγρα· ὁ πολίτης Φλεγραῖος καὶ Φλεγραία καὶ Φλεγραῖον. ἔστι καὶ Φλεγρός καὶ Φλέγρα. Λ.*

Hinc qui Mein. colligere potuerit Stephanum scripsisse videri *Φλεγρὰς* pro *Φλεγρός* (rect. *Φλέγρος*) non assequor. Stephanus iam eam lectionem videtur invenisse quam codd. Lycophronis praebent *Φλέγρας.*

1426 Et. M. 549. 17 *κύφελλα· τὰ νέφη οἱονεὶ κρύφελλα — ἢ τὰ κούφως ἐλαυνόμενα.* Mill. Mél. 200: *κύφελλα — ῥοιζουμένων. V: δῖα* pro *δ' ἰῶν ῥοιζούμενα.*

1441 Steph. *Χαλάστρα· — ὁ πολίτης Χαλαστραῖος. Λ. Θεσπρωτὸς ἄμφω καὶ Χαλαστραῖος λέων. γένος V.*

1444 Steph. *Γαλάδραι· πόλις Μακεδονίας ἐν Πιερίᾳ. Λ.* sequitur totus versus: *σῖναι R σιναι VII γαλάδρος.*

1454 *s* 352 *ὡς καὶ αὐτὴ λέγει κάτω· πίστιν — ἐνόσφισε. λιψιεῖς.*

Λέξω τὰ πάντα νητρεκῶς, ἅ μ' ἱστορεῖς,
ἀρχῆς ἀπ' ἄκρας. ἢν δὲ μηκυνθῇ λόγος,
σύγγνωθι, δέσποτ'· οὐ γὰρ ἥσυχος κόρη
ἔλυσε χρησμῶν ὡς πρὶν αἰόλον στόμα,

ἐκβάλλεται δὲ τὸ προοίμιον παρά τισιν· οὐ γὰρ φαίνεται οὐδὲν ἐρωτῶν ὁ Πρίαμος S (*T* in extr. arg.) cf. *T* ad *1.*
1 *ἅ μ' ἱστορεῖς* om. *B ἀλλ' ἱστόρει T* 2 *ἄκρης CDE* 4 *χρησμῶν ABDSΠ χρησμῶν* (ρ supra) *C²* *χρησμὸν E* *αἰόλον ABESΠ αἰόλων* (ο supra) *C²* *αἰόλον* (ω supra) *D* *αἰόλων S* ad *3*

P Λέξεις Ἀλεξάνδρας Λυκόφρονος καὶ ὑπόθεσις.

Μαντευομένην τὴν Κασσάνδραν τἀληθῆ καὶ διὰ μῆνιν Ἀπόλλωνος ἀπιστουμένην καθεῖρξεν ὁ πατήρ, οἰκέτην αὐτῇ παρακαταστήσας ἀκούειν τῶν χρησμῶν, ὅπως ἀναγραφόμενος αὐτοὺς ἀπαγγείλῃ αὐτῷ. περιέχει δὲ χρησμοὺς τὸ ποίημα καὶ τὴν ἀφ' Ἡρακλέους ἱστορίαν μέχρι τῆς τῶν Ῥωμαίων ἀρχῆς, ἔξωθεν παρεμπλεκομένης καὶ ἄλλης ποικίλης ἱστορίας. νοητέον δὲ κατὰ τὴν ἐκτὸς ὑπόθεσιν τὸν Πρίαμον ἠρωτηκέναι τὸν ἄγγελον περὶ ὧν ἀπεφθέγγετο ἡ Κασσάνδρα, τὸν δὲ ἄνωθεν διηγούμενον ἅπαντα.

(1) Φράσω τὰ πάντα | ἀληθῶς· καὶ γὰρ ἐπιτατικῶς νοοῦμεν τὸ νη ὡς τὸ νήχυτος καὶ νήδυμος | ἅ με πυνθάνῃ καὶ ἐρωτᾷς | (2) ἀπ' ἄκρας ἀρχῆς· ἐὰν δὲ ἐκταθῇ τὸ ἔπος | (3) συγχώρει, δέσποτα | οὐ γὰρ [ἦν] ἥσυχος ἡ κόρη | (4) ἔλυσε τῶν προρρήσεων | ὡς πρότερον τὸ ποικίλον στόμα· λέγει οὖν τὸ ποικίλον καὶ πολυμαθὲς τῶν αἰνιγμάτων. ἔωλον δὲ τὸ μάταιον διὰ τοῦ ω̄ καὶ ε̄ ψιλοῦ | .

καὶ ὑπόθεσις om. *a* *λέξεις — ὑπόθεσις* om. *f* 1 $\overline{νη}$ pro *η Bachm.* 2 *ἀπ' ἄκρας ἀρχῆς* om. *B* 3 *ἦν* eiecit *Lehrs Pind. 71* *ἡ* om. *B* 4 *ἐῶλον B* (*ε* et altera pars litterae *ω* in litura)

p Μετάφρασις τοῦ Λυκόφρονος.

Λέξω τὰ πάντα νητρεκῶς, ἅ μ' ἱστορεῖς, ἀρχῆς ἀπ' ἄκρας καὶ τὰ ἑξῆς· (1) ἀπὸ τῆς πρώτης ἀρχῆς ἀληθῶς, ἅτινά με ἐπερωτᾷς, εἴπω καὶ φράσω· ἐὰν δὲ μακρυνθῇ καὶ ἐπεκτανθῇ ὁ λόγος, (3) συγγνώμην πάρεχε, ὦ βασιλεῦ· οὐ γὰρ ἡ κόρη καθάπερ τὸ πρότερον ἥσυχος οὖσα τῶν χρησμῶν τὸ ποικίλον στόμα διέλυσεν,

ἀλλ' ἄσπετον χέασα παμμιγῆ βοὴν
δαφνηφάγων φοίβαζεν ἐκ λαιμῶν ὄπα,
Σφιγγὸς κελαινῆς γῆρυν ἐκμιμουμένη.
τῶν ἅσσα θυμῷ καὶ διὰ μνήμης ἔχω,
κλύοις ἄν, ὦναξ, κἀναπεμπάζων φρενὶ
πυκνῇ διοίχνει δυςφάτους αἰνιγμάτων
οἴμας τυλίσσων, ἧπερ εὐμαθὴς τρίβος
ὀρθῇ κελεύθῳ τἀν σκότῳ ποδηγετεῖ.
ἐγὼ δ' ἄκραν βαλβῖδα μηρίνθου σχάσας
ἄνειμι λοξῶν ἐς διεξόδους ἐπῶν,
πρώτην ἀράξας νύσσαν ὡς πτηνὸς δρομεύς.
Ἕως μὲν αἰπὺν ἄρτι Φηγίου πάγον

ο ω ο
6 *δαφνηφάγων ABDP δαφνηφάγων C δαφνηφάγον ET λαιμῶν C²*
οι γρ. ων ας οἵ ας
10 *διίχνει C² διίσχνει E δυσφάτους A²* 11 *οἴμας A οἴμους T μους C²*
ω
οἴμους D 12 *σκότει C²* *ποδηγέτει* v. l. in *S* 15 *παράξας Voelck. de Lyc. Cass. verss. XIII—XV p. 26* 16 *Ἕως* editor *ἠὼς A ἠὼς BCDE*

(5) ἀλλὰ ἄσπετον ἐκχέασα | πολυίστορον πάμμικτον φωνήν | (6) μαντικῶν, τῶν δάφνην σιτουμένων | ἐμαντεύετο, ἐνεθουσία | ἐκ τοῦ στόματος φωνήν | (7) τῆς τραχείας Σφιγγός, ἢ σκοτεινῆς καὶ σκολιᾶς· παραβάλλει γὰρ αὐτὴν Σφιγγὶ διὰ τὸ δυσνόητον. ἔστι δὲ ὄνομα γυναικός | φωνὴν ἐκμιμουμένη | (8) τούτων ἅτινα ἐν τῇ ψυχῇ | καὶ δι' ἐνθυμήσεως κατέχω | (9) ἀκούοις ἄν, ὦ βασιλεῦ | καὶ ἀναλογιζόμενος ἢ ἀριθμῶν τῇ διανοίᾳ, ἐπεὶ οἱ ἀρχαῖοι κατὰ πέντε ἠρίθμουν | (10) συνετῇ μετέρχου | δυσλύτους αἰνιγμάτων | (11) ὁδοὺς ἐρευνῶν | ὅπου δὴ τῆς εὐμαθίας ἡ ὁδός | (12) εὐθείᾳ ὁδῷ τὰ ἐν τῷ σκότῳ ποδηγεῖ, εἰς φανερὸν ἄγει | (13) ἐγὼ δὲ ἀπὸ τῆς ἄκρας ἀφετηρίας· ἀντίστροφον δ' ἐστὶν τὸ σχῆμα ἀντὶ ⟨τοῦ⟩ βαλβῖδος μήρινθον | τὴν σχοῖνον ἀποδραμών | (14) ἀνέρχομαι τῶν ἀσαφῶν ἢ πλαγίων | εἰς ἀφηγήσεις λόγων | (15) πρώτην ἀποκόψας, κρούσας | κυρίως ἀφετηρίαν, καμπτόν, νῦν δὲ ἀρχήν | καθάπερ ταχὺς δρομεύς |

(16) Ἡ μὲν Ἡμέρα τὸ ὑψηλὸν τότε | ὄρους ἀνατολικοῦ τὸ ἄκρον ἢ ἀκρωτήριον, ὅπερ ἐστὶν παρ' Ὠκεανόν |

6 *ἐνθουσία B* 7 *ἔστι — γυναικός* eiecit *Lehrs Pind. 72* 9 *ἀκούεις B ἀκούσειας a f* ⟨*τοῦ*⟩ addidi 13 *ἀφετηρίαν B*

(5) ἀλλ' ἄπειρον καὶ πολλὴν ἐκχέασα πολύμικτον φωνὴν (6) ἐκ τῆς δαφνοφαγίας ἐμαντεύετο ἐκ τῶν λαρύγγων φωνὴν (7) τῆς ποικίλης Σφιγγὸς τὴν φωνὴν ἐναπομαξαμένη καὶ ἐκμιμησαμένη. (8) τούτων ὅσα τῇ ψυχῇ καὶ διὰ μνήμης ἔχω, ἀκούσειας ἄν, ὦ βασιλεῦ, καὶ ἀναλογιζόμενος καὶ ἀναψηφίζων τῇ συνετῇ διανοίᾳ (10) δίελθε τοὺς δυσφράστους τῶν αἰνιγμάτων καὶ παραπετασμάτων (11) ὁδοὺς ἐρευνῶν, ὅπου ἡ εὐτριβὴς καὶ σαφὴς ὁδὸς (12) τῇ ὀρθῇ τρίβῳ καὶ ἐν αὐτῷ σκότει ὁδηγεῖ καὶ προάγει· (13) ἐγὼ δὲ τῆς ἀρχῆς τῆς βάσεως τὸ σχοινίον διαρρήξας (14) πρόειμι ἐπὶ τὰς τῶν ἀσαφῶν λόγων ἀφηγήσεις (15) πρώτην κρούσας ἀφετηρίαν, ὡς ταχὺς δρομεύς. (16) ἡ Ἡμέρα δὴ τὸ ὑψηλὸν ὄρος τοῦ Φηγίου, τὸ ἀκρωτήριον,

11 *εὐτριβὴς* pro *ἐντριβὴς V*

κραιπνοῖς ὑπερποτᾶτο Πηγάσου πτεροῖς,
Τιθωνὸν ἐν κοίταισι ταῖς Κέρνης πέλας
λιποῦσα, τὸν σὸν ἀμφιμήτριον κάσιν.
οἳ δ' οὖσα γρώνης εὐγάληνα χερμάδος
ναῦται λίαζον κἀπὸ γῆς ἐσχάζοσαν
ὕσπληγας· αἳ δὲ παρθενοκτόνον Θέτιν
ἰουλόπεζοι θεῖνον εὐῶπες σπάθαις
πελαργόχρωτες, αἱ Φαλακραῖαι κόραι,
ὑπὲρ Καλυδνῶν λευκὰ φαίνουσαι πτίλα
κἄφλαστα καὶ φώσσωνας ὠργυιωμένους

17 *ὑπερπωτᾶτο A* 19 *κοίτῃσι V* *ταῖς GHerm. V 236* *τῆς V* 21 *λύαζον D* 22 *ὕσπληγγας CDE* 23 *εὐώπαις P* 24 *πελαργόχρωτες Thes. VI 690 D* *πελαργοχρῶτες V* *ἄφλαστα V* 26 *ὠργυωμένους AC* cf. *T*

---

(17) ταχέσιν ὑπερίπτατο | τοῖς τοῦ Διὸς ἵππου πτεροῖς | (18) τὸν Λαομέδοντος παῖδα, ἀδελφὸν δὲ Πριάμου ἐν ταῖς κοίταις | τῆς ἐν τῷ Ὠκεανῷ νήσου πλησίον | (19) καταλιποῦσα, τὸν σόν | ὁμοπάτριον, οὐχ ὁμομήτριον ἀδελφόν | (20) οἱ δὲ τὰ σχοινία τῆς τετρημένης, παρὰ τὸν οἴσω μέλλοντα | τὰ γαλήνης παρεκτικά ⟨ἢ⟩ ἀντὶ τοῦ εὐμάλακτα. τῆς πέτρας τῆς τετρημένης | (21) οἱ ναῦται ἀπεχώριζον, ἔλυον | καὶ ἀπὸ τῆς γῆς ἀπέτρεχον· εὐβοϊκὴ ἡ διάλεκτος | (22) νῦν τὰ ἀπόγεια σχοινία, κυρίως δὲ τὰς ἀγκύρας | τὴν θάλασσαν ἤτοι τὸν Ἑλλήσποντον διὰ τὰ περὶ τῆς Ἑλένης μυθευόμενα, ὅτι παρθένοι αὐτῇ θύονται | (23) αἱ νῆες. ἴουλος θηρίον πολύπουν. ἀντὶ τοῦ πολύποδες | ἔτυπτον ταῖς εὐοφθάλμοις κώπαις | (24) αἱ νῆες λευκῷ χρώματι κεχρισμέναι ὡς πελαργός | αἱ Τρωικαί· καὶ γὰρ ἡ Φαλάκρα ὄρος Τροίας, ἐξ οὗ κατασκευάσας ὁ Πάρις τὰς ναῦς ὡς φαλακρὸν ἐποίησε τὸν τόπον | (25) ὑπεράνω τῶν Καλυδνῶν νήσων τῆς Τροίας | τὰ λευκὰ ἁπλοῦσαι ἱστία, ἄρμενα, διὰ τὸ στέλλεσθαι ὑπὸ τῶν ἀνέμων | (26) ἀκροστόλια οἷον ἄθλαστα κατὰ εὐφημισ-

---

20 *τὸν οἴσω* pro *τὸ ἥσω editor* ex *Et. M. 642. 44* ⟨*ἢ*⟩ addidi *ἀντὶ — εὐμάλακτα* om. *B* *ἀντὶ τοῦ* pro *ἄιτὰ* (τ supra) *editor* *τετρημένης* pro *τετριμμένης Bachm.* 21 *ἀπέτρεχον* ἢ *ἀπέσπων a* 22 *Ἑλλης Bachm.* 23 *τοῖς* pro *ταῖς B*

(17) τοῖς ταχέσι πτεροῖς τοῦ Πηγάσου ὑπερέπετατο, (18) τὸν Τιθωνὸν ἐν ταῖς κοίταις πλησίον τῆς Κέρνης, (19) τὸν σὸν τὸν . . . μητρὸς ἀδελφόν, καταλιποῦσα. (20) οἱ δὲ ναῦται τὰ εὐμάλακτα σχοινία τῆς τετρημένης πέτρας (21) ἔλυον καὶ ἐχώριζον καὶ ἀπὸ τῆς γῆς τὰς ἀγκύρας ἀπέσπων· αἱ δὲ πολύποδες καὶ λευκοχρώματοι καὶ ψιλαὶ καὶ λεῖαι καὶ εὐόφθαλμοι νῆες ταῖς κώπαις τὴν περὶ τὸν Ἑλλήσποντον παρθενοκτόνον θάλασσαν ἔτυπτον καὶ ἔπαιον (25) ὑπεράνω τῶν Καλυδνίων νήσων τὰ λευκὰ ἄρμενα ἀναφαίνουσαι, (26) τὰ ἀκροστόλια καὶ τὰ ἱστία ἐκτεταμένα

---

19 lacunam indicavi. fortasse *ἐξ ἑτέρας* excidit 21 *περὶ* pro *ἐπὶ Sebast.*

ἀπαρκτίαις πρηστῆρος αἴθωνος πνοαῖς.
ἡ δ' ἔνθεον σχάσασα βακχεῖον στόμα
Ἄτης ἀπ' ἄκρων βουπλανοκτίστων λόφων
τοιῶνδ' ἀπαρχῆς ἦρχ' Ἀλεξάνδρα λόγων·

Αἰαῖ τάλαινα θηλαμὼν κεκαυμένη,
καὶ πρόσθε μὲν πεύκαισιν οὐλαμηφόροις
τριεσπέρου λέοντος, ὅν ποτε γνάθοις
Τρίτωνος ἠμάλαψε κάρχαρος κύων —
ἔμπνους δὲ δαιτρὸς ἡπάτων φλοιδούμενος
τινθῷ λέβητος ἀφλόγοις ἐπ' ἐσχάραις

27 *αἴθωνος πνοαῖς* om. *B* 30 *ἀπ' ἀρχῆς V* *γόων* v. l. in *P*
31 *Αἰαῖ Bachm. αἲ αἲ ABCD* cf. *T αἲ αἲ E* 32 *πεύκῃσιν V*

μόν, καὶ τὰ ἱστία | ἐξημμένους, ἡπλωμένους | (27) διαυγοῦς, θερμοῦ, ταχέος πνοαῖς | (28) ἡ δὲ τὸ μανιῶδες ἀνοίξασα | μαντικὸν ἢ ἐνθουσιαστικὸν στόμα | (29) ἀπὸ τῶν τῆς Ἄτης κορυφῶν· ἔστι δὲ ὄρος Τροίας, ὅπου ἔπεσεν ἡ Ἄτη | τῶν βουπλανοκτίστων ἄκρων | (30) τοιούτων ἐξ ἀρχῆς | ἤρξατο ἡ Κασσάνδρα ἐπῶν· Ἀλεξάνδρα δὲ διὰ τὸ ἀλέξειν τοὺς ἄνδρας· παρθένος γάρ ἐστι. γρ. δὲ καὶ γόων, θρήνων |

(31) Φεῦ, φεῦ | ταλαίπωρε τροφὲ, ἀναθρεψαμένη, πεφλεγμένη | (32) καὶ πρώην μὲν ταῖς ναυσὶν ἢ λαμπάσιν | πολεμικαῖς, φερούσαις οὐλαμὸν ἢ ὑπὸ οὐλαμοῦ φερομέναις· οὐλαμὸς δέ ἐστι τάξις πολεμική | (33) τοῦ Ἡρακλέους, λέοντος μὲν διὰ τὸ ἀνδρεῖον, τριεσπέρου δὲ, ὅτι τρεῖς νύκτας συνῆψεν ὁ Ζεὺς παρακοιμώμενος τῇ Ἀλκμήνῃ | ὅντινα πάλαι γναθμοῖς, ἀκαῖς | (34) τοῦ Ποσειδῶνος κατέπιεν, ἠφάνισεν | τραχὺς κύων, τὸ κῆτος, διὰ τὴν χαροπότητα | (35) ζῶν δὲ μάγειρος, διὰ τὸ διαιρεῖν τὸ κῆτος | τῶν ἐγκάτων ἀναπεμπόμενος, φλογιζόμενος, φλεγόμενος | (36) τῷ θερμῷ κύτει τοῦ κήτους, τῷ διαπύρῳ τῆς γαστρός | ἀφλέκτοις, ταῖς ἄνευ πυρὸς καιομέναις. ἄνθραξι, πυραῖς |

27 *ταῖς ἀπ' ἄρκτου τοῦ φυσητοῦ διαυγοῦς — a* *ταχέος* int. lin. carm. *a* *ταχείαις Ba* 30 *ἀλέξειν Bachm.* *λέξειν B ἀλεξεῖν* int. col. *a* om. *f* 32 *πολεμικοῖς φέρουσιν B* *φερομένου B* 33 *ἀκαῖς* pro *ἀκοαῖς Bachm.*
36 *πυραῖς ἢ τοῖς ἐντέροις ταῖς ἄ. π. κ.* int. col. *a* *τοῦ — καιομένου B* om. *f* *τοῖς καιομένοις Bachm.*

(27) ταῖς ἀπὸ τοῦ ἄρκτου θερμοῦ ἀνέμου πνοαῖς.

ἡ δ' ἔνθεον σχάσασα βακχεῖον στόμα Ἄτης ἀπ' ἄκρων βουπλανοκτίστων λόφων τοιῶνδ' ἀπ' ἀρχῆς ἦρχ' Ἀλεξάνδρα λόγων καὶ τὰ ἑξῆς· (28) ἡ δὲ Ἀλεξάνδρα τὸ μαντικὸν καὶ μανικὸν στόμα ἀνοίξασα ἐκ τῶν ἄκρων τῆς βλάβης τῶν ἐκ τοῦ βοὸς κτισθέντων πύργων (30) τοιούτων ἀπ' ἀρχῆς ἤρξατο λόγων· (31) φεῦ, φεῦ, ταλαίπωρε τροφεῦ ἐμπεπρησμένη, (32) καὶ ἔμπροσθεν ταῖς πολεμηφόροις ναυσὶ (33) τοῦ τριεσπέρου λέοντος ἤτοι τοῦ Ἡρακλέος, ὅντινά ποτε ταῖς σιαγόσιν (34) ὁ καρχαρόδους κύων ἤτοι τὸ κῆτος τοῦ Τρίτωνος ἠφάνισε· (35) ζῶν δὲ μάγειρος τῶν σπλάγχνων φλεγόμενος (36) τῷ θερμῷ κύτει τοῦ λέβητος ἤτοι τῆς γαστρὸς τοῦ κήτους καὶ τῷ ἐπιπέδῳ ἐν ταῖς μὴ φλεγούσαις ἐσχάραις τουτέστιν ἐντέροις τὰς τρίχας τῆς κεφαλῆς ἀπεβάλετο

31 *τροφὲ Bachm.* 34 *καρχαρόδους* pro *καρχαρώδης Bachm.*

σμήριγγας ἐστάλαξε κωδείας πέδῳ,
ὁ τεκνοραίστης, λυμεὼν ἐμῆς πάτρας,
ὁ δευτέραν τεκοῦσαν ἄτρωτον βαρεῖ
τύψας ἀτράκτῳ στέρνον ἔν τ' αὐλῷ μέσον
πατρὸς παλαιστοῦ χερσὶν ὀχμάσας δέμας
Κρόνου παρ' αἰπὺν ὄχθον, ἔνθα γηγενοῦς
ἵππων ταρακτὴς ἐστιν Ἰσχένου τάφος,
ὁ τὴν θαλάσσης Αὐσονίτιδος μυχοὺς
στενοὺς ὀπιπεύουσαν ἀγρίαν κύνα
κτανὼν ὑπὲρ σπήλυγγος ἰχθυωμένην,
ταυροσφάγον λέαιναν, ἣν αὖθις πατὴρ
σάρκας καταίθων λοφνίσιν δωμήσατο

40 *μέσον B* (ο ex ω) *P μέσῳ ACDEpT* 43 *Ἰσχένου* (αι supra ε) *C*[2] 'quidam hic malunt *Ὠλένου* legere, cujus viri meminit Pausanias' (*VI 20. 16*) *Cant.* 45 *ὀπιπεύσασαν B ὀπιπτεύουσαν CDET* 48 *λοφνίσιν Ald. λοφνίσι ABCDE δωμήσαντο B δομήσατο* (ω supra ο) *C*[2]*ET δομήσατο D*

(37) τὰς τρίχας ἔρρευσεν, ἔσταξεν | τῆς κεφαλῆς ἐδάφει | (38) ὁ Ἡρακλῆς, ὁ τὰ τέκνα φθείρας· ἀνεῖλεν γὰρ τοὺς ἐκ Μεγάρας αὐτοῦ υἱοὺς τοὺς δ̄ ἀπὸ τῆς ἀναβάσεως τοῦ Κερβέρου | ὁ φθορεὺς καὶ πορθητὴς τῆς ἐμῆς πατρίδος | (39) τὴν Ἥραν λέγει· φασὶ γὰρ αὐτὴν θηλάσαι | μὴ τιτρωσκομένην, παρόσον θεός ἐστι, ἰσχυρῷ | (40) βαλὼν τῷ βέλει | στῆθος ἐν τῷ σταδίῳ ἢ ἀγῶνι μέσον | (41) τοῦ Διὸς ταῖς χερσίν | κατασχὼν τὸ σῶμα ἢ ἀποκινήσας | (42) παρὰ τὸν ὑψηλὸν τοῦ Κρόνου λόφον, παρὰ τὸν καλούμενον Κρόνιον λόφον ἐν Ὀλυμπίᾳ | ὅπου τοῦ Γίγαντος | (43) ὁ ταράξιππός ἐστιν, ὁ τοὺς ἵππους ταράττων ἐν τῷ τρέχειν | Ἰσχένου μνημεῖον· Ἴσχενος δέ ἐστι Γίγαντος υἱὸς ἀπὸ τοῦ Ἑρμοῦ καὶ τῆς Ἱερείας | (44) ὁ τὴν τῆς θαλάσσης τῆς Ῥωμαϊκῆς τὰ βάθη, καταδύσεις, κοιλότητας, λιμένας | (45) τὰ στενὰ περιβλεπομένην, ἐπιτηροῦσαν | τὴν Σκύλλαν λέγει | (46) ἀνελὼν ὑπεράνω τοῦ σπηλαίου | ἀγρεύουσαν, ἁλιεύουσαν ἰχθῦς | (47) τὴν Σκύλλαν, τὴν ταυροκτόνον· ταυροφάγον ἔδει εἶναι, ἀλλὰ διὰ τὸ μέτρον προσέλαβεν τὸ σ̄· ἥντινα πάλιν ὁ πατὴρ Φόρκυν | (48) τὰς σάρκας κατακαίων | λαμπάσιν ἀνῳκοδόμησεν καὶ ἐσωμάτωσεν ἢ ἐζωοποίησεν |

42 *περὶ B ὀλύμπῳ B* 47 *μέτρον* om. *B*

(38) ὁ τῶν ἰδίων τέκνων ἀναιρέτης, ὁ πορθητὴς τῆς ἐμῆς πατρίδος, (39) ὁ τὴν κατὰ δεύτερον λόγον τεκοῦσαν αὐτὸν ἄφθαρτον Ἥραν βαρεῖ καὶ ἐπιπόνῳ (40) βέλει κατὰ τὸ στέρνον τύψας καὶ πλήξας, ὁ τοῦ πατρὸς αὐτοῦ Διὸς παλαίοντος ταῖς χερσὶ τὸ σῶμα κρατήσας ἐν μέσῳ τῷ σταδίῳ (42) παρὰ τὸν ὑψηλὸν λόφον τοῦ Κρόνου, ὅπου ὁ τῶν ἵππων ταραχοποιός ἐστιν ὁ τοῦ Γίγαντος Ἰσχένου τάφος (44) ὁ τὴν τῆς Ἰταλικῆς θαλάσσης ἐσωτάτους στενοὺς τόπους περιβλεπομένην ἀγρίαν Σκύλλαν (46) καὶ ταυροσφάγον λέαιναν ὑπὲρ τοῦ σπηλαίου δίκην ἰχθύος πλέουσαν ἀποκτείνας, ἥντινα πάλιν ὁ πατὴρ Φόρκυν (48) τὰς σάρκας κατακαύσας ταῖς λαμπάσιν ἀνεκτήσατο καὶ ἀνεσώσατο

Λέπτυνιν οὐ τρέμουσαν, οὐδαίαν θεόν,
ἐξηνάριξεν ὅν ποτ' ἀξίφῳ δόλῳ
νέκυς, τὸν Ἅιδην δεξιούμενος πάλαι —
λεύσσω σε, τλῆμον, δεύτερον πυρουμένην
ταῖς τ' Αἰακείοις χερσί τοῖς τε Ταντάλου
Λέτριναν οἰκουροῦσι λειψάνοις πυρὸς
παιδὸς καταβρωθέντος αἰθάλῳ δέμας
τοῖς τ' Εὐταρείοις βουκόλου πτερώμασιν·
ἃ πάντα πρὸς φῶς ἡ βαρύζηλος δάμαρ,
στείλασα κοῦρον τὸν κατήγορον χθονός,

49 *λέπτυννιν* lemm. *A*   51 *δεξιούμενος BDP δεξιούμενον pS δεξιούμενος*$^{\nu}$ *AC^2ET δεξιούμενος πάλῃ T?*   52 *λεύσσω p λεύσω ABCDEPT* lemm. *p*   53 *αἰακίοις B αἰακείαις CE*   54 *Λέτριναν Bachm. λαίτριναν CD λαίτρυναν E λαίτρινναν AB* cf. *158*   55 *καταβρωθέντος d καταβρο*θέντος E καταβροχθέντος ACDp καταβρο*$^{\omega}$*χθέντος PT καταβρωχθέντος B*   56 *τ' Εὐταρείοις editor Τευταρείοις v* praeter *B* in quo *τεσταρείοις* scriptum est *πτερώμασι v*   57 *τὰ v*   *φῶς δ' CE*

(49) τὴν Φερσεφόνην οὐ φοβουμένην | καταχθονίαν θεάν | (50) ὅντινά ποτε ἀνεῖλεν | τῇ ἄνευ ξίφους πλάνῃ | (51) ὁ νεκρὸς τὸν Ἅιδην | ἀντὶ τοῦ ἤδη τελευτήσας. φιλοφρονούμενος. λέγει δὲ τὸν Νέσσον. ἤδη, ποτέ | (52) θεάσομαί σε, ταλαίπωρε, ἀθλία | ἐκ δευτέρου καιομένην | (53) ταῖς τοῦ ἀπογόνου Αἰακοῦ· λέγει δὲ ἢ ταῖς Νεοπτολέμου ἢ πρότερον Τελαμῶνος καὶ Πηλέως. ἢ ὅτι ἀναφέρεται ὁ Ἐπειός, ὁ τὸν δούρειον ποιήσας, πρὸς Φῶκον καὶ Αἰακόν | καὶ ταῖς τοῦ Ταντάλου | (54) κώμην Ἤλιδος ἢ πόλιν, ἧς ἐβασίλευσεν ὁ Πέλοψ | κατοικοῦσι, φυλάττουσιν | τῇ σποδιᾷ, τῇ τέφρᾳ ἢ στακτῇ | (55) τοῦ καταποθέντος ἢ κατακαέντος παιδός | τῇ σποδιᾷ τὸ σῶμα | (56) τοῖς τοῦ Τευτάρου· Τεύταρος δὲ ἦν βουκόλος τοῦ Ἀμφιτρύωνος, Σκύθης τὸ γένος ἢ Ἀσσύριος, ὁ διδάξας Ἡρακλεῖ τὴν τοξικήν | βουφορβοῦ οἰστοῖς | (57) τὰ πάντα πρὸς τὸ φῶς ἡ μεγαλόζηλος, ἡ ζηλότυπος γυνὴ τοῦ Ἀλεξάνδρου Οἰνώνη | (58) ἀποστεῖλασα νεώτερον· λέγει δὲ Κόρυθον τὸν

49 *Περσεφόνην a*   53 *ἀναφέρεται ὁ Ἐπειὸς* pro *ἀναφέρουσι τὸ ἐπιὸν Bachm.* *τοῖς Bachm.*   56 *τεστάρου B τέσταρος B*

(49) τὴν λεπτύνουσαν τὰ σώματα Περσεφόνην, τὴν καταχθόνιον θεόν, οὐ τρέμουσαν οὐδὲ φοβουμένην, (50) ὅντινά ποτε ἄνευ ξίφους δόλῳ ἀπέκτεινεν (51) ὁ νεκρὸς Νέσσος, τὸν τὸν Ἅιδην πρώην χειρωσάμενον. Λεύσω σε, τλῆμον, δεύτερον πυρουμένην· (52) βλέπω σε, ταλαίπωρε, τὸ δεύτερον ἐμπεπρησμένην (53) ταῖς τε ἀπ' Αἰακοῦ καταγομέναις χερσὶ τοῖς τοῦ παιδὸς Ταντάλου Πέλοπος τοῦ πυρὸς λειψάνοις τὴν Λαίτριναν πόλιν φυλάττουσι τοῦ καταποθέντος τῇ σποδιᾷ σώματος (56) τοῖς τε τοῦ βουκόλου Τευτάρου οἰστοῖς καὶ βέλεσι. (57) Ταῦτα πάντα εἰς φανέρωσιν ἡ βαρύμηνις καὶ βαρύζηλος γαμετὴ Οἰνώνη (58) ἀποστεῖλασα τὸν υἱὸν κατήγορον τῆς πατρίδος

53 *τὸ σῶμα* pro *σώματος V*

ἄξει, πατρὸς μομφαῖσιν ἠγριωμένη
λέκτρων θ' ἕκατι τῶν τ' ἐπεισάκτων γάμων.
αὐτὴ δὲ φαρμακουργός, οὐκ ἰάσιμον
ἕλκος δρακοῦσα τοῦ ξυνευνέτου λυγρὸν
Γιγαντοραίστοις ἄρδισιν τετρωμένου
πρὸς αὐθοπλίτου, ξυνὸν ὀγχήσει μόρον
πύργων ἀπ' ἄκρων πρὸς νεόδμητον νέκυν
ῥοιζηδὸν ἐκβράσασα κύμβαχον δέμας·
πόθῳ δὲ τοῦ θανόντος ἠγκιστρωμένη
ψυχὴν περὶ σπαίροντι φυσήσει νεκρῷ.
στένω, στένω σε δισσὰ καὶ τριπλᾶ δορὸς
αὖθις προσακὴν καὶ διαρπαγὰς δόμων

59 *μομφῇσιν AB* 63 *ἄρδισι BCDE* *τετρωμένου BP τετρωμένον ADp* *τετρωμένου* (ον supra) *ET* 64 *αὐθοπλίτου BΠS αὐθοπλήτου A* (*υ* in *ν* mutavit *A*[3], *η* radendo in *ι* mutatum. *ἀνθοπλίτου V ν* in *υ* mutavit *V*[3]) *ἀνθοπλίτου DE* *ἀνθοπλίτου* (αὐ supra) *C*[2] 68 *περὶ σπαίροντι d περισπαίροντι ABCDE* *φυσήσει νεκρῷ* om. *B* 70 *πρὸς ἀλκὴν V*

Οἰνώνης υἱὸν καὶ Ἀλεξάνδρου | τῆς πατρίδος | (59) ἐπάξει ταῖς τοῦ πατρὸς μομφαῖς, μέμψεσιν μαινομένη | (60) τῶν τε κοιτῶν ἢ εὐνῶν ἕνεκα | καὶ τῶν ξένων καὶ ἀδίκων γάμων | (61) αὐτὴ δὲ ἰατρικῆς καὶ φαρμάκων ἔμπειρος, ἴδρις | τὸ οὐ θεραπεύσιμον | (62) τραῦμα ἰδοῦσα | τοῦ συγκοίτου χαλεπόν | (63) ταῖς γιγαντοφθόροις, ταῖς τοὺς Γίγαντας ἀνελούσαις, λέγει δὲ τοῦ Ἡρακλέους | ἀκίσι τῶν βελῶν βεβλημένου | (64) πρὸς τοῦ ὁμοτέχνου Φιλοκτήτου· τοξόται γὰρ ἀμφότεροι κοινὸν σχῇ θάνατον | (65) ἀπ' ἄκρων τῶν πύργων | νεωστὶ δαμασθέντα, ὅ ἐστιν φονευθέντα, νεοσφαγῆ νεκρὸν | (66) μετὰ ἤχου ἐκρίψασα | ἐπὶ κεφαλὴν κατενεχθὲν τὸ σῶμα | (67) τῇ δὲ ἀγάπῃ τοῦ τεθνηκότος | ἀγρευομένη, κατεχομένη, μεταφορικῶς | (68) τὴν ψυχὴν περιπνέοντι ἐκπνεύσει | (69) στενάζω, στενάζω σε | ξύλου, δόρατος. παρ' ὅσον τρίτον ἐπορθήθη τὸ Ἴλιον | (70) πάλιν πρὸς μάχην | καὶ διαρπαγὰς οἴκων |

58 *Ἀλεξάνδρου, κατήγορον τῆς πατρ. a ἀλεξ. τὸν ἑρμηνέα τ. π. f* 59 *ἐπάξει* pro *ἀπάξει* editor. 63 *τοῦ* pro *ταῖς* utroque loco *B* 68 *περὶ ἀποπνέοντι*? cf. *p* *ἐκπεπνευκότα B ἐκπνεύσει περὶ τῷ νεκρῷ a ἐκπνεύσει f* 69 *τρὶς*?

(59) ἄξει τοῖς τοῦ πατρὸς ὀνείδεσιν ἐξηγριωμένη (60) χάριν τῶν κοιτῶν τῶν ἐπεισάκτων καὶ νόθων. (61) αὕτη δὲ φαρμακοεργὸς ὑπάρχουσα ἀνίατον (62) τὸ χαλεπὸν τραῦμα τοῦ συζύγου (63) ταῖς τοὺς Γίγαντας ἀνελούσαις ἀκίσι τῶν βελῶν πεπληγμένον (64) παρὰ τοῦ ὁμοιοπλίτου Φιλοκτήτου κοινοῦ μεθέξει θανάτου (65) ἀπὸ τῶν ἄκρων πύργων πρὸς τὸν νεόπληκτον νεκρὸν (66) μετὰ ἤχου καὶ ῥοίζου ἐκρίψασα ἐπὶ κεφαλῆς τὸ σῶμα· (67) φιλίᾳ δὲ καὶ στοργῇ τοῦ ἀποθανόντος ἑλκομένη (68) τὴν ψυχὴν σκαρίζοντι καὶ ἀποπνέοντι ἐκπνεύσει τῷ νεκρῷ.

Στένω, στένω σε δισσὰ καὶ τριπλᾶ δορὸς αὖθις· (69) στενάζω, στενάζω σε δισσῶς καὶ τρισσῶς δόρατος (70) πάλιν πρὸς μάχην καὶ πρὸς διαρπαγὰς οἴκων

63 *ἰδοῦσα* in fine add. *V*

καὶ πῦρ ἐναυγάσουσαν ᾀστωτήριον.
στένω σε, πάτρα, καὶ τάφους Ἀτλαντίδος
δύπτου κέλωρος, ὅς ποτ' ἐν ῥαπτῷ κύτει
ὁποῖα πορκὸς Ἰστριεὺς τετρασκελὴς
ἀσκῷ μονήρης ἀμφελυτρώσας δέμας
Ῥιθυμνιάτης κέπφος ὡς ἐνήξατο,
Ζήρυνθον ἄντρον τῆς κυνοσφάγου θεᾶς
λιπών, ἐρυμνὸν κτίσμα Κυρβάντων Σάον,
ὅτ' ἠμάθυνε πᾶσαν ὀμβρήσας χθόνα
Ζηνὸς καχλάζων νασμός· οἳ δὲ πρὸς πέδῳ

71 *ἐναυγάζουσαν V* *αἰστωτήριον V* 73 *κύτει ABΠS σκύτει C²* (*σ* addidit C²) *ET* *κύτει* (with *σ* above) *D* *σκύτει* (with *κ* above) *T* 76 *Ῥειθυμνιάτης V* 77 *Ζήριυθον V* *κυνοσφάγου* editor *κυνοσφαγοῦς ACDE κυνησφαγοῦς B* *θεᾶς* om. *B*

(71) καὶ πῦρ ἐναστράπτουσαν, προορωμένην | ἀφανιστήριον, ἀδηλοποιόν | (72) στενάζω σε, ὦ πάτρα τῆς Ἠλέκτρας, θυγατρὸς Ἄτλαντος καὶ Πληιόνης, ἀφ' ἧς Ζεὺς ἐτέκνωσε Δάρδανον | (73) τοῦ κολυμβητοῦ υἱοῦ τῆς Ἠλέκτρας Δαρδάνου. παρὰ τὸ κελεύεσθαι | ὅστις ποτὲ ἐν τῇ σχεδίᾳ, ἐφ' ἧς ἀπὸ Σαμοθράκης | (74) ὥσπερ ζῶον θαλάσσιον, μᾶλλον δ' ἐν Ἴστρῳ τῷ ποταμῷ, τὸ νῦν λεγόμενον Δαρδανίωνος | ἀπὸ Ἴστρου | ποταμοῦ. τέσσαρα σκέλη ἔχων, τετράπους· τοῦτο δὲ εἶπεν, ἐπειδὴ τέσσαρας λίθους ἐνέβαλεν τῇ σχεδίᾳ πρὸς ἰσότητα | (75) τῷ δέρματι. μονήρης δὲ διὰ τὸ μιᾷ κώπῃ χρήσασθαι | περικαλύψας. περισκεπάσας σῶμα | (76) ἀπὸ Ῥειθυμνίας, πόλεως Κρητικῆς | ὡς κέπφος, ὅπερ ἐστὶν εἶδος ὀρνέου, ἐκολύμβησε | (77) σπήλαιον ἐν Θράκῃ τῆς Ἥρας ἢ ἱερὸν τῆς Ἑκάτης ἐν Σαμοθράκῃ | τῆς Ἑκάτης· κύνας γὰρ αὐτῇ ἔθυον. πλεονάζει τὸ σ̄, ὡς εἴρηται | (78) καταλιπὼν τὸ ἰσχυρὸν καὶ σκοτεινὸν οἴκημα | δαιμόνων περὶ τὴν Ῥέαν. τὸ δὲ Σάον ὄρος Σαμοθράκης | (79) ἡνίκα ἄμμον ἐποίησεν ἅπασαν | κατακλύσας τὴν γῆν | (80) τοῦ Διὸς βράζων, ἠχῶν, ψοφῶν |

72 *πάτρα B* 73 *τὸ* pro *τῷ* *editor* *κέλεσθαι Bachm.* 74 leg. *τῷ νῦν λεγομένῳ Δανουβίῳ* cf. *s* *ποταμοῦ* om. *B* 75 *πρὸς μίαν ἡμέραν ζῶν καὶ ὀψὲ τελευτῶν* post *χρήσασθαι a*, marg. *B*

(71) καὶ πῦρ ἀναφαίνουσαν ἀφανιστήριον. (72) στενάζω σε, ὦ πατρίς, καὶ τοὺς τάφους τοῦ κολυμβητοῦ, τοῦ υἱοῦ τῆς θυγατρὸς Ἄτλαντος Ἠλέκτρας Δαρδάνου, ὅστις ποτὲ ἐν τῇ Θρακικῇ σχεδίᾳ (74) καθάπερ ὁ τοῦ Ἴστρου ποταμοῦ τετρασκελὴς πόρκος (75) τῷ δέρματι περικαλύψας τὸ σῶμα μιᾷ κώπῃ (76) Κρητικὸς ὥσπερ κέπφος ἔπλευσε (77) τὸ Θρακικὸν σπήλαιον τῆς τοὺς κύνας θυομένης θεᾶς Ἑκάτης (78) καταλιπών, τὸ σκοτεινὸν οἴκημα τῶν περὶ τὴν Ῥέαν δαιμόνων, (79) ὁπότ' ἠφάνισε πᾶσαν ὕσας καὶ βρέξας (80) ὁ τοῦ Διὸς ἠχῶν καὶ ψοφῶν ὑετός· οἱ δὲ πρὸς τὸν χέρσον,

78 *περὶ* pro *ἐπὶ* *editor*

πύργοι κατηρείποντο, τοὶ δὲ λοισθίαν
νήχοντο μοῖραν προὐμμάτων δεδορκότες,
φηγὸν δὲ καὶ δρύκαρπα καὶ γλυκὺν βότρυν
φάλλαι τε καὶ δελφῖνες αἵ τ᾽ ἐπ᾽ ἀρσένων
φέρβοντο φῶκαι λέκτρα θουρῶσαι βροτῶν.
Λεύσσω θέοντα γρυνὸν ἐπτερωμένον
τρήρωνος εἰς ἅρπαγμα, Πεφναίας κυνός,
ἣν τόργος ὑγρόφοιτος ἐκλοχεύεται
κελυφάνου στρόβιλον ὠστρακωμένην.

81 *κατηρίποντο A κατη*[ει]*ρίποντο C*[2] *κατηρ*[ι]*είποντο D κατερείποντο E* 84 *φάλαι CD φ*[αλά]*λι E* 85 *γρ. καὶ πορσῶσαι ἀντὶ τοῖ ἑρμῶσαι* in marg. ant. *A* 86 *λεύσσω E* lemm. *Ap λεύσω ABDP λεύ*[σ]*σω C*[2] *γρο*[υ]*υνὸν A γρουνὸν B* 87 *πεφναίας p* optioni datur in *PS* 88 *ὑγρόφοιτος ACDEΠs ὑψίφοιτος B* (in marg. *γρ. ὑγρόφοιτος*) *γρ. καὶ ὑψίφοιτος s* 89 *κελυφάνου d κελυφάνῳ ABCDEΠ*

κατακλυσμός | οἱ δὲ πρὸς τῇ γῇ | (81) οἱ πύργοι κατέπιπτον, οὗτοι δὲ ἐσχάτην | (82) ἐκολύμβων μοῖραν | πρὸ ὀφθαλμῶν βλέποντες | (83) τὴν δρῦν δὲ καὶ τοὺς καρποὺς αὐτῆς | καὶ ἡδὺν βότρυν | (84) φάλλαιναι, εἶδος φώκης, καὶ αἱ δελφῖνες | αἵτινες ἐπὶ τῶν ἀρρένων | (85) ἐτρέφοντο αἱ φῶκαι· εἰσὶ δὲ θαλάσσια θηρία | κοίτας ἐπιθυμοῦσαι ἀνθρώπων |

(86) Βλέψω τρέχοντα | χορμόν· λέγει δὲ Ἀλέξανδρον τὸν Πάριν διὰ τὸ τῆς μητρὸς αὐτοῦ ὄναρ | ἐπηρμένον καὶ τὴν ψυχὴν μετέωρον | (87) τῆς δειλῆς εἰς ἁρπαγήν· καλεῖ δὲ περιστερὰν τὴν Ἑλένην | τῆς ἀναιδεστάτης Ἑλένης κατὰ τὸν Ὁμηρικὸν στίχον·

δᾶερ ἐμεῖο κυνὸς κακομηχάνου.

Πέφνη δὲ ἀκρωτήριον τῆς Λακωνικῆς, ὅθεν ὡρμᾶτο ἡ Ἑλένη, ἢ πεφναία ἀπὸ τοῦ πάντας φονεύειν· πρόξενος γὰρ ὀλέθρου | (88) ἥντινα ὁ γὺψ ἢ ὁ ἀετὸς ἢ κύκνος· τόργος δὲ κυρίως ὁ γύψ, νῦν δὲ τὸν κύκνον λέγει, ὃν μιμησάμενος ὁ Ζεὺς συνεμίγη τῇ Λήδῃ, ἀφ᾽ ἧς ἡ Ἑλένη | ὁ ἐν ὑγροῖς τόποις διατρίβων, ὁ ἐν ὕδατι διαπτώμενος | γεννᾷ | (89) τῷ τοῦ ὠοῦ ὀστράκῳ, τῷ γλύμματι καὶ ὑμένι τοῦ ὠοῦ, διὰ τὴν ἱστορίαν, ὅτι ἐκ ζώου ἐγεννῶντο ἥ τε Ἑλένη καὶ οἱ ἀδελφοὶ αὐτῆς |

84 *φάλαιναι B* 87 *Z 344*
89 *ἐξ ᾠοῦ Bachm.* cf. *s*

(81) πύργοι κατέπιπτον, οὗτοι δὲ τὴν ἐσχάτην (82) μοῖραν ἔπλεον πρὸ τῶν ὀμμάτων θεωροῦντες (83) αἵ τε φάλαιναι καὶ οἱ δελφῖνες καὶ αἱ τῶν ἀρσένων ἀνθρώπων τὰς κοίτας ἐπιθυμοῦσαι φῶκαι τὴν δρῦν καὶ τὰ δρύκαρπα καὶ τὸν γλυκὺν βότρυν τρεφόμεναι. (86) βλέπω τρέχοντα χορμὸν πλεόμενον (87) εἰς ἁρπαγὴν περιστερᾶς, τῆς φονικῆς καὶ ἀναιδοῦς Ἑλένης, (88) ἥντινα ὁ ἐν τοῖς ὑγροῖς φοιτῶν καὶ ἀναστρεφόμενος κύκνος γεννᾷ (89) τῷ περιφερεῖ ᾠῷ ὠστρακωμένην.

Καὶ δή σε ναύτην ἀχερουσία τρίβος
καταιβάτις πύγαργον, οὐ πατρὸς κόπρους
στείβοντα ῥακτῶν βουσταθμων, ξενώσεται,
ὡς πρόσθε, κάλλους τὸν θυωρίτην τριπλαῖς·
ἀλλ' ὀστρίμων μὲν ἀντὶ Γαμφηλὰς ὄνου
καὶ Λᾶν περάσεις, ἀντὶ δ' εὐχίλου κάπης
καὶ μηλιανθμῶν ἠδὲ χερσαίας πλάτης
τράμπις σ' ὀχήσει καὶ Φερέκλειοι πόδες

90 *ἀχερουσία editor ἀχερουσία CDE ἠχ ερουσία A ἡ ἀχερουσία B* 92 *στείβοντα* (χ superscr.) *C*[2] 93 *θεαῖς* pro *τὸν G Herm. V 236* *τριπλαῖς* (ῶν superscr.) *D* 94 *γαμφιλὰς AB* 95 *περήσεις V* *εὐχίλου AEP εὐχείλου B* (ε mediae syllabae ex *η*) *εὐχείλου* (ι superscr.) *C* *εὐχίλου* (ει superscr.) *DT*

περιφερὲς, στρογγυλοειδές | ὀστράκῳ περικεκλεισμένην |

(90) Καὶ δή σε ναύτην, ὦ Ἀλέξανδρε | ἡ εἰς τὸν Ἅιδην κάθοδος ἐν Ταινάρῳ τῆς Λακωνικῆς, δι' ἧς ὁ Πάρις ἤμελλεν τὴν Ἑλένην ἁρπάζειν | (91) ἡ κάθοδος | δειλὸν ἢ ἅρπαγα· ἔστι δὲ εἶδος ἀετοῦ· τοὺς γὰρ δειλοὺς πυγάργους ἔλεγον οἱ ἀρχαῖοι καὶ μελαμπύγους τοὺς ἀνδρείους | οὐ τοῦ πατρὸς μάνδρας καὶ ἐπαύλεις | (92) πατοῦντα | βουνῶν, φαράγγων τραχέων | βουστασιῶν ξενοδοχήσει | (93) ὡς τοῦ προτέρου κάλλους | θυωρός λέγεται μέγιστος ἡ τράπεζα ὡς τὰ θύη δεχομένη. τὸν κριτὴν, τὸν τραπεζίτην, τὸν ἀργυρογνώμονα, τὸν Ἀλέξανδρον | παρόσον τὰς τρεῖς θεὰς ἔκρινεν Ἥραν, Ἀθηνᾶν, Ἀφροδίτην | (94) ἀλλὰ τῶν ὀρῶν μὲν τῆς Τροίας ἢ Φρυγίας | τόπος τῆς Λακωνικῆς οὕτω καλούμενος | (95) [καὶ τῆς καλαύροπος ἢ τοῦ πτύου] περάσεις· ἔστι δὲ τόπος Λακωνικὸς ἡ Μάλεια . . . . ὥς φησιν ὁ ποιητής·

μῆκος δὲ λίθου μέγα κῦμ' ἀποέργει | ἀντὶ δὲ τῆς εὐτρόφου καὶ θρεπτικῆς φάτνης | (96) τῆς τῶν θρεμμάτων ἢ προβάτων κοιμήσεως | καὶ τῆς χερσαίας, τοῦ πτύου, τῆς καλαύροπος | (97) βαρβαρικὸν

93 *μέγιστος* corruptum. *κυρίως s* *δεχομένη* post *Ἀλέξανδρον B* om. *af* transposuit *Bachm.* 95 *καὶ — πτύου* uncinis inclusi; pertinent ad v. 96 leg. *Λᾶς* post *Μάλεια* lacunam indicavi *γ 296* ubi ll. *μικρὸς δὲ λίθος —*, Zenodotus *Μαλέου* – cf. Mein. Anall. 185

Καὶ δή σε ναύτην ἡ Ἀχερουσία τρίβος καταιβάτις πύγαργον, οὐ πατρὸς κόπρους στείβοντα ῥακτῶν βουστάθμων, ξενώσεται· (90) καὶ δή σε, ὦ Ἀλέξανδρε, ναύτην ἡ εἰς Ἅιδου κατάγουσα ὁδός, τὸ ἀκρωτήριον τῆς Λακωνικῆς, ἅρπαγα ξενώσεται καὶ ὑποδέξεται, οὐ τοῦ ἰδίου πατρὸς τὰς μάνδρας καὶ ἐπαύλεις πατοῦντα τῶν τραχέων βουστασιῶν, (93) ὡς ἔμπροσθεν τραπεζίτην καὶ κριτὴν ταῖς τρισσαῖς θεαῖς Ἀθηνᾷ καὶ Ἥρᾳ καὶ Ἀφροδίτῃ τοῦ κάλλους γεγονότα. (94) ἀλλὰ [καὶ] ἀντὶ τοῦ ὄρους τῆς Φρυγίας τὸ καλούμενον Ὀστρίμων τῶν τόπων τῆς Λακωνικῆς ἤτοι τὰς Σιαγόνας τοῦ ὄνου (95) καὶ τὴν Μάλειαν περάσεις, ἀντὶ δὲ τῆς εὐχίλου φάτνης (96) καὶ τῶν ἐν τοῖς προβάτοις κοιμήσεων καὶ τῆς καλαύροπος (97) βαρβαρικόν σε πλοῖον ἀπάξει καὶ οἱ τοῦ Φερέκλου πόδες, τουτέστιν αἱ νῆες

94 *καὶ* om. *V* *ἀντὶ* pro *αὐτὰ V* leg. *τοῦ καλουμένου* (*V*) *Ὄστριμα* ⟨*εἰς*⟩ *τοὺς τόπους —* 95 *περάσεις* h. l. inserui : post *φάτνης* scripserunt *AV* *δὲ* add. *V*

διssὰς σαλάμβας κἀπὶ Γυθείου πλάκας,
ἐν αἷσι πρὸς κύνουρα καμπύλους σχάσας
πεύκης ὀδόντας, ἕκτορας πλημμυρίδος,
σκαρθμῶν ἰαύσεις εἰναφώσσωνα στόλον.
καὶ τὴν ἄνυμφον πόρτιν ἁρπάσας λύκος,
δυοῖν πελειαῖν ὠρφανισμένην γονῆς
καὶ δευτέραν εἰς ἄρκυν ὀθνείων βρόχων
ληῖτιν ἐμπταίσασαν ἰξευτοῦ πτερῷ,

98 *Γυθίου v* 99 *καμπύλου* (ς supra) *A²* *καμπύλα D* 100 *ἕκτορας* om. *B* *πλημυρίδος A* *πλημυρίδας B* 101 *σκαρμῶν D* *θῖνα φώσσωνα B* *εἰναφώσσωνα A* (εἰ supra) (*εἰ* in litura *A³*. *A* videtur scripsisse *θῖναφώσσωνα* (εἰν supra). *εἰναφώσσωνα V* sed *ε* in litura *V³*) *εἰναφώσσωνα* et *θῖνα φώσσωνα PS* *εἰναφώσσωνα p* *ἑίναφώσσωνα C* (spiritum asperum add. *C²*) *εἰναφώσσωνα* (ν supra) *D* *εἰνναφώσσωνα E* 103 *γονῆς T* *γοναῖς ABCDΠ* *γοναῖν E* 105 *λήιστιν AB* *γρ. λιίτιν* (*ι* primae syllabae ex *η* ut videtur factum) marg. *A* *ἐμπταίσασαν AD* (*τ* inseruit *D²*) *ἐμπτύσασαν B* *ἐμπέσασαν C* *ἐμπέσασαν*, supra *ῆ* *ἐμπταίσασαν E*

πλόϊον ἀπάξει | αἱ νῆες· ὁ γὰρ Φέρεκλος αὐτὰς εἰργάσατο | (98) δισσὰς θυρίδας· παρὰ τὸ σέλας ἐμβάλλειν· ἔστι δὲ ὄνομα τόπου, ἀκρωτήριον τῆς Λακωνικῆς | καὶ ἀπὸ τόπου Λακωνικῆς | (99) ἐν αἷς πόλεσιν ἢ θυρίσιν | πρὸς τὰ κύματα ἢ τοὺς τραχεῖς καὶ ἀλιμένους τόπους, παρὰ τὸ κεκυφῶσθαι | κρατήσας ἢ ἀφήσας, βαλὼν | (100) τῆς ναὸς τὰς ἐφεκτικὰς ἀγκύρας | [ἀναπαύσεις, κοιμήσεις] πλημμύρας, κλύδωνος, ζάλης, τῆς ὁρμῆς τῆς θαλάσσης | (101) τῶν σκαλμῶν, τῶν κινήσεων ὁρμίσεις | ἐννεάπλοιον στόλον ἢ παρὰ τὴν θῖνα | (102) καὶ τὴν πολύνυμφον ἢ κακόνυμφον δάμαλιν Ἑλένην | ἁρπάσας ὁ Ἀλέξανδρος | (103) δύο παίδων· λέγει δὲ Ἑρμιόνην καὶ Ἰφιγένειαν | ἐστερημένην, ἠλλοτριωμένην τόκοις | (104) καὶ δευτέραν ἁρπαγὴν τὴν ὑπὸ Ἀλεξάνδρου εἰς παγίδα ἢ εἰς δίκτυον | ξένων παγῶν | (105) ληιστήν, αἰχμάλωτον ἐμπεσοῦσαν | τῷ τοῦ θηρευτοῦ Ἀλεξάνδρου ἢ τοῦ Ἔρωτος |

99 *ἐπικαμπεῖς κρατήσας a* 100 *ἐφεκτικὰς* om. *B* [*ἀναπαύσεις, κοιμήσεις*] om. *a* pertinent ad 101 *ἰαύσεις* cf. *s* 101 *ὁρμίσεις* inter lin. carm. *a* *ὁρμήσεις Ba* om. *f* 105 *τὸ* pro *τῷ B*

(98) εἰς τὰς δισσὰς θυρίδας καὶ εἰς τὰς ἐπὶ Γυθίου πλάκας, (99) ἐν αἷς πρὸς τραχεῖς καὶ ἀνειμένους τόπους τοὺς ἐπικαμπεῖς ἀφήσας καὶ βαλὼν (100) νειὸς ὀδόντας ἤτοι τὰς ἀγκύρας, τὰς ἐχέτορας καὶ ἀφετικὰς τοῦ κλύδωνος καὶ τῆς ζάλης (101) τῶν πηδημάτων ὁρμίσεις ἐννεάπλοιον στόλον. (102) καὶ τὴν πολύνυμφον δάμαλιν ὡς λύκος ἁρπάσας, (103) δυοῖν περιστεραῖν ἠλλοτριωμένην, θυγατράσι, (104) καὶ δευτέραν εἰς δίκτυον ξένων βρόχων (105) ληΐστὴν ἐμπεσοῦσαν τῷ τοῦ Ἀλεξάνδρου πτερῷ,

100 *φυλακτικὰς* pro *ἀφετικὰς V* leg. *ἀφεκτικὰς*, vel *ἐφεκτικὰς* ut *P*

Θύσαισιν ἁρμοῖ μηλάτων ἀπάργματα
φλέγουσαν ἐν κρόκαισι καὶ Βύνῃ θεᾷ,
θρέξεις ὑπὲρ Σκάνδειαν Αἰγίλου τ' ἄκραν,
αἴθων ἐπακτὴρ καγχαλῶν ἀγρεύματι.
νήσῳ δ' ἐνὶ δράκοντος ἐκχέας πόθον
Ἀκτῆς, διμόρφου γηγενοῦς σκηπτουχίας,
τὴν δευτέραν ἕωλον οὐκ ὄψει Κύπριν,
ψυχρὸν παραγκάλισμα κἀξ ὀνειράτων
κεναῖς ἀφάσσων ὠλέναισι δέμνια.
ὁ γάρ σε συλλέκτροιο Φλεγραίας πόσις
στυγνὸς Τορώνης, ᾧ γέλως ἀπέχθεται
καὶ δάκρυ, νῆϊς δ' ἐστὶ καὶ τητώμενος
ἀμφοῖν, ὃ Θρῄκης ἔκ ποτ' εἰς ἐπακτίαν

106 *Θύσαισιν* editor *θύσησιν CDE γρ. θύσῃσιν* marg. *AT θύστῃσιν ABΠ* *ἁρμῷ* (οῖ supra) *B* 107 *κρόκῃσι V* 109 *ὀγρεύματα B* 111 *σκηπτουχίας* (αι supra) *B* 112 *ἕωλον AB* (ε in litura *B*) *E* 113 *παρ' ἀγκάλισμα P* 115 *οὐ BP ὁ∗ E* 118 *ὁ V ὃ Θρῄκης ἔκ ποτ'* om. *B*

(106) ἐν θυσίαις οὕτω καλουμέναις· τὸ δὲ ἁρμοῖ νεωστί | προβάτων ἀπαρχάς | (107) καίουσαν ἐν θαλασσίαις ψήφοις, παρὰ τὸ κρούεσθαι | καὶ Δύνῃ, τῇ Ἰνοῖ, παρὰ τὸ δῦναι, β̄ ἀντὶ τοῦ δ̄, δωρικῶς | (108) δραμῇ | τόπος Πελοποννήσου | τόπος Πελοποννήσου ἢ Λακωνικῆς | (109) διάπυρος κυνηγός, χαίρων | θηράματι | (110) ἐν δὲ τῇ τοῦ Κέκροπος νήσῳ | ἐκχέας τὸν πόθον (111) τῆς Ἀττικῆς | διφυοῦς ἀνδρός βασιλείας | (112) τὴν δευτέραν καὶ παλαιὰν ἢ ματαίαν | οὐ θεάσῃ μίξιν | (113) παρὰ τὸ ψυχρὸν ἀγκάλισμα | καὶ ἐκ τῶν ὀνειράτων | (114) κεναῖς ψηλαφῶν | ἀγκάλαις κοίτας | (115) οὐδαμῶς γάρ σε συνεύνου | ὁ Πρωτεύς. Φλεγραία δὲ πόλις Θράκης, ἐξ ἧς γενομένη τοῦ Πρωτέως γυνὴ Τορώνη, ἐν ᾗ πόλει ἐφλέγησαν οἱ Γίγαντες | (116) ὁ κατηφής· Τορώνη δὲ γυνὴ Πρωτέως | ᾧτινι γέλως ἀπεχθάνεται καὶ δάκρυον | (117) ἄπειρος δ' ὑπάρχει | καὶ στερισκόμενος ἢ στερούμενος | (118) ἀμφοτέροιν | εἰς τὴν Φάρον Ἀλεξανδρείας |

108 *δράμῃς ?* 113 *παρὰ* pro *περὶ Bachm.* 115 *ὁ γάρ σε* in litura *a* (a[2] ?) 118 *ὁ ἐκ τῆς θρᾴκης ποτὲ* inter *ἀμφ.* et *εἰς a*

(106) ταῖς θυσίαις νεωστὶ τῶν προβάτων (107) καίουσαν ἐν ταῖς θαλασσίαις ψήφοις τῇ θεᾷ Ἰνοῖ, (108) δράμῃς ὑπὲρ τὴν Σκάνδειαν καὶ τὴν τοῦ Αἰγίλου ἄκραν, (109) διάπυρος κυνηγὸς χαίρων τῷ θηράματι.

Νήσῳ δ' ἐνὶ δράκοντος· (110) ἐν δὲ τῇ τῆς Ἀττικῆς νήσῳ, τῆς τοῦ Κέκροπος τοῦ διφυοῦς γίγαντος βασιλείας, τὸν πόθον ἐκχέας καὶ ἐκκενώσας (112) τὴν χθεσινὴν καὶ παλαιὰν μίξιν τῆς Ἑλένης οὐκ ὄψει, (113) νεκρὸν παρηγόρημα ἐκ τῶν ὀνειράτων (114) κεναῖς ταῖς ἀγκάλαις ψηλαφῶν τὰ κοιτάρια. (115) ὁ γὰρ Πρωτεύς, ὁ τῆς ἐκ Φλεγραίας πόλεως Τορώνης τῆς συζύγου ὁ στυγνὸς ἀνήρ, (116) ᾧτινι γέλως καὶ δάκρυ μεμίσηται καὶ ἀπέστραπται· ἄπειρος γάρ ἐστι καὶ στερισκόμενος (118) ἀμφοτέρων· ὁπότε ἐκ τῆς Θρᾴκης εἰς τὴν Αἴγυπτον

106 *προβάτων ἀπαρχὰς V* 115 *ὁ τῆς* pro *ὅστις V*

Τρίτωνος ἐκβολαῖσιν ἠλοκισμένην
χέρσον περάσας οὐχὶ ναυβάτῃ στόλῳ,
ἀλλ' ἀστίβητον οἶμον οἷά τις σιφνεὺς
κευθμῶνος ἐν σήραγγι τετρήνας μυχοὺς
νέρθεν θαλάσσης ἀτραποὺς διήνυσε,
τέκνων ἀλύξας τὰς ξενοκτόνους πάλας
καὶ πατρὶ πέμψας τὰς ἐπηκόους λιτὰς
στῆσαι παλίμπουν εἰς πάτραν, ὅθεν πλάνης
Παλληνίαν ἐπῆλθε, γηγενῶν τροφόν —
κεῖνός σε Γουνεὺς ὥςπερ, ἐργάτης δίκης,
τῆς θ' Ἡλίου θυγατρὸς Ἰχναίας βραβεὺς
ἐπεςβολήσας λυπρὰ νοσφιεῖ γάμων

120 *ναυάτῃ CD* 121 *οἷά τις σιφνεὺς* om. *B* 123 *νέρθε TBCD διήνυσεν A* 126 *στῆσεν B* 128 *ὥστις* (περ supra) *C²* 130 *λυπρὰ editor λυγρὰ ABD λυγρῶς* (ἀ supra) *C² λυγρῶν* e *λυγρὰ E*

(119) τοῦ Ποσειδῶνος· λέγει δὲ τοῦ Νείλου ῥεύμασιν | ἐσκεπασμένην | (120) εἰς τὴν ξηρὰν περάσας | ἀντὶ τοῦ οὐκ ἐπὶ νηός | (121) ἀλλ' ἀπάτητον ἔρημον ὁδόν | (122) κρυπτῆρος ἐν μακρῷ σπηλαίῳ | διατρήσας, τρυπήσας καταδύσεις | (123) κάτωθεν τῆς θαλάσσης | ὁδοὺς διῆλθεν | (124) τῶν τέκνων ἐκφυγών· τέκνα δὲ τοῦ Πρωτέως Τμῶλος καὶ Τηλέγονος | κατεπάλαιον γὰρ τοὺς ξένους | (125) καὶ τῷ πατρὶ Ποσειδῶνι ἀναπέμψας | τὰς παρακλήσεις | (126) στῆσαι παλιμπόρευτον εἰς τὴν Αἴγυπτον, ὅθεν πλανήτης | (127) εἰς πόλιν Θράκης ἐπῆλθε, | τῶν Γιγάντων τὴν πατρίδα | (128) ἐκεῖνός σε ὥσπερ τις Γουνεύς· οὗτος δὲ ὁ Γουνεὺς Ἄραψ τὸ γένος, δικαιότατος ὤν, τοὺς Φοίνικας καὶ Βαβυλωνίους στασιώδως ἔχοντας μετήλλαξε πρὸς εἰρήνην πεμφθεὶς ὑπὸ Σεμιράμιδος | πράκτωρ δικαιοσύνης | (129) τῆς Θέμιδος ἢ τῆς δικαιοσύνης, διότι πάντας ἐφορᾷ | τῆς κατ' ἴχνιον βαινούσης καὶ τοὺς ἀνθρώπους ἐφορώσης, ἥτις ἐστὶν ἡ Θέμις· ἐν Ἰχναίαις γὰρ τῆς Μακεδονίας διέτριβεν | (130) λοιδορήσας χαλεπά |

119 *ἐσπαραγμένην ?* 121 *ὁδὸν ὥσπερ τις ἀσπάλαξ a* 122 *κρυπτηρίου ?* 124 *κατεπάλαιεν B κατεπάλαιε a* 126 *πλάνη B* 128 *στασιώδους B* 129 *Ἴχναις Bachm.*

(119) τὴν ταῖς ἐκβολαῖς τοῦ Νείλου ἐπεσκεπασμένην (120) τὴν χέρσον περάσας, οὐχὶ διὰ νηὸς προπομπῆς, (121) ἀλλὰ ἄβατον ὁδὸν καθάπερ τις ἀσπάλαξ (122) κρυπτῆρος ἐν σπηλαίῳ τρυπήσας τοὺς ἐσωτάτους τόπους (123) τοὺς ὑποκάτω τῆς θαλάσσης ὁδοὺς διῆλθε, (124) τῶν τέκνων ἐκφυγὼν τὰς ξενοκτόνους χεῖρας (125) τῷ πατρὶ Ποσειδῶνι πέμψας τὰς ἐπηκόους παρακλήσεις τοῦ πατρὸς (126) στῆσαι αὐτὸν παλιμπόρευτον εἰς τὴν πατρίδα, ὅθεν τῆς πλάνης (127) τὴν Παλληνίαν πόλιν ἐπῆλθε, τὴν τῶν Γιγάντων τροφόν· (128) ἐκεῖνός σε καθάπερ ὁ τῆς δικαιοσύνης ἐργάτης Γονεὺς (129) τῆς τε Ἡλίου θυγατρος τῆς κατ' ἴχνος τῶν ἀνθρώπων πορευομένης Θέμιδος βραβευτὴς (130) λοιδορήσας χαλεπὰ χωρίσει τῶν γάμων

125 *ἐπηκόους editor ὑπακοῆς A ὑπηκόους V* 130 *χωρίσει V χωρήσει A*

λίπτοντα κάσσης ἐκβαλὼν πελειάδος·
ὃς τοὺς Λύκου τε καὶ Χιμαιρέως τάφους
χρησμοῖσι κυδαίνοντας οὐκ αἰδούμενος
οὐδ' Ἀνθέως ἔρωτας οὐδὲ τὸν ξένοις
σύνδορπον Αἰγαίωνος ἁγνίτην πάγον
ἔτλης θεῶν ἀλοιτὸς ἐκβῆναι δίκην
λάξας τράπεζαν κἀνακυπώσας Θέμιν,
ἄρκτου τιθήνης ἐκμεμαγμένος τρόπους.
τοιγὰρ ψαλάξεις ἐς κενὸν νευρᾶς κτύπον,
ἄσιτα κἀδώρητα φορμίζων μέλη.
κλαίων δὲ πάτραν τὴν πρὶν ἠθαλωμένην
ἵξει χεροῖν εἴδωλον ἠγκαλισμένος
τῆς πενταλέκτρου θυιάδος Πλευρωνίας.

132 *τοῦ B* 136 *ἄλητος B* ut videtur (*οι B*[2]) *δίκην Tzetzae* con-
η
iectura *δίκην C*[2]*D δίκην E δίκῃ ΛΠ δίκη B* 138 *ἐκμεμαγμένους B*
139 *εἰς BCDE* 142 *ἵξῃ v* 143 *θιάδος BCDE*

γωρίσει τῶν γάμων | (131) ἐπιθυμοῦντα τῆς κατωφεροῦς καὶ πόρνης | ἐκβαλὼν περιστερᾶς | (132) ὀνόματα κύρια, [ἢ] Ἠλιεῖς τὸ γένος | (133) τοῖς χρησμοῖς δοξάζοντας, τιμῶντας | οὐκ εὐλαβούμενος | (134) οὐδ' Ἀνθέως· ὄνομα κύριον. ἐπιθυμίας | οὐδὲ τὸν ἀλλοτρίοις ὁμοτράπεζον· λέγει δὲ τὸ ἅλας | (135) τοῦ Ποσειδῶνος, ἐπειδὴ ὅλη ἡ θάλασσα ἁλμυρά | τὸν ἅλα· δι' αὐτοῦ γὰρ ἁγνίζονται | (136) ἐκαρτέρεις τῶν θεῶν ἁμαρτωλός | ἐκβῆναι τῇ δικαιοσύνῃ | (137) λακτίσας τὴν τράπεζαν Μενελάου | καὶ ἀνατρέψας τὸν νόμον | (138) ἄρκτου, τροφοῦ Ἀλεξάνδρου | ἐκμιμούμενος τοὺς τρόπους | (139) κτυπήσεις μὲν γὰρ εἰς μάταιον ἢ κρούσεις, ψηλαφήσεις | τὸν κτύπον τῆς νευρᾶς. ἀπὸ παροιμίας, εἰς κενὸν κρούσεις τὰς χορδάς | (140) οὐκ ἐπὶ σίτῳ, οὐκ ἐπὶ δώροις | κιθαρίζων μελη | (141) θρηνῶν δὲ τὴν πατρίδα τὴν πρώην τεφρωθεῖσαν ὑφ' Ἡρακλέους | (142) ἐλεύσῃ ἐν ταῖς χερσὶν εἴδωλον | ἐν ἀγκάλαις φέρων | (143) τῆς πέντε γεγαμημένης ἀνδράσιν | Βάκχης, μαινάδος. Ἑλένης, ἀπὸ Πλευρώνης πόλεως |

133 *δοξάζοντος, τιμῶντος B* 134 *ὄνομα κύριον* om. *B cf. append.*
143 *Πλευρώνης* om. *a* *Πλευρῶνος Bachm.*

(131) ἐπιθυμοῦντα τῆς νεοττείας καὶ τεκνογονίας τῆς περιστερᾶς ἐκβαλών· (132) ὅστις τοὺς Λύκου καὶ Χιμαίρεως τάφους (133) τοῖς χρησμοῖς κυδαίνοντας καὶ δοξάζοντας Ἕλληνας Μενελάῳ οὐκ ἐντρεπόμενος, (134) οὐ τοὺς ἔρωτας τοῦ Ἀνθέως οὐδὲ τὸν τοῖς ξένοις (135) σύνδειπνον τοῦ Ποσειδῶνος ἁγνὸν ἅλα (136) ἐτόλμησας, ἁμαρτωλέ, τῇ δίκῃ τῶν θεῶν παρεκβῆναι (137) λακτίσας τὴν τράπεζαν καὶ ἀναστρέψας τὸν νόμον, (138) τῆς τροφοῦ ἄρκτου τοὺς τρόπους ἀναμαξάμενος. (139) τοιγαροῦν κτυπήσεις κενὸν καὶ μάτην τῆς νευρᾶς τὸν κτύπον, (140) ἄνευ σίτου καὶ ἄνευ δώρων κιθαρίζων τὰ μελη. (141) κλαίων δὲ τὴν πατρίδα τὴν πρότερον κεκαυμένην (142) ἥξεις ταῖν χεροῖν τὸ εἴδωλον ἐνηγκαλισμένος (143) τῆς πέντε ἀνδράσι γεγαμημένης μαινάδος καὶ σοβαρίδος καὶ Βάκχης, τῆς ἐκ Πλευρῶνος πόλεως Ἑλένης.

γυιαὶ γὰρ εὐναστῆρας ἄμναμοι τριπλαῖς
πήναις κατεκλώσαντο δηναιᾶς Ἁλὸς
νυμφεῖα πεντάγαμβρα δαίσασθαι γάμων.
δοιὼ μὲν ἁρπακτῆρας αὐγάσει λύκους,
πτηνοὺς τριόρχας αἰετοὺς ὀφθαλμίας,
τὸν δ' ἐκ Πλυνοῦ τε κἀπὸ Καρικῶν ποτῶν
βλαστόντα ῥίζαν ἡμικρῆτα βάρβαρον,
Ἐπειόν, οὐκ Ἀργεῖον ἀκραιφνῆ γοναῖς.
οὗ πάππον ἐν γαμφαῖσιν Ἐνναία ποτὲ
Ἕρκυνν' Ἐρινὺς Θουρία Ξιφηφόρος
ἄσαρκα μιστύλασα τύμβευσεν φάρῳ,

144 *εὐναστῆρες B* *ἄμαμμοι A* (ν *superscr.*) *ἄναμμοι B* 147 *αὐγάσαι V* 149 *τόν τ' CDE* 150 *ῥίζης V* 153 *ἕρκυνα B ἕρκυν' CDE* *ἐρινὺς d ἐρινῦς E ἐριννὺς BCD ἐριννῦς A* 154 *μιστύλασα GHerm. V 237 μιστύλασ' d μιστύλλασ' ACDE μιστύλλασα B* *τύμβευσεν GHerm. l. l. ἐτύμβευσεν AB ἐτύμβευσε TCDE* *φάρῳ Et. M. cf. Π* reponi jusserunt *Muell. III 284 Ritschl Opp. I 699 GHerm. V 236 τάφῳ V*

(144) αἱ Μοῖραι· χωλαὶ δὲ παραδίδονται, ὅτι οὐ ταχέως μετέρχονται εἰς τοὺς ἀνθρώπους· ἢ βλαπτικαὶ καὶ χαλεπαί | ἄνδρας, συγκοίτους ἔγγονοι, ἀπόγονοι | (145) ταῖς ἀτράκτοις ἐπεμοίραναν | παλαιᾶς θαλάσσης, λέγει δὲ τῆς Τηθύος | (146) πέντε γὰρ ἔγημαν τὴν Ἑλένην | εὐωχεῖσθαι, μερίσασθαι γάμων | (147) δύο μὲν ἅρπαγας ἰδεῖν λύκους | (148) ταχεῖς· ἔστιν δὲ εἶδος ἀετοῦ | ἀετοὺς ὀξυδερκεῖς· ἤτοι τοὺς ἀετοὺς εὐοφθάλμους εἶπεν ἢ αὐτῆς τῆς Ἑλένης εὐόπτου οὔσης | (149) τὸν Μενέλαον ἐκ τόπου Λιβυκοῦ· Πλυνὸς γὰρ χωρίον Λιβυκῆς | καὶ ἀπὸ τοῦ ποταμοῦ τοῦ Λακωνικοῦ, ἀπὸ Λακεδαίμονος· Κᾶρες γὰρ ᾤκουν τὴν Λακεδαίμονα | (150) βλαστήσαντα ἐκ ῥίζης | ἐπειδὴ ἡ μήτηρ Μενελάου Ἀερόπη Κρῆσσα ἦν | (151) Ἠλεῖον, ἀπὸ τῆς Ἤλιδος, οὐ Πελοποννήσιον | ἀκραιφνῆ ταῖς γοναῖς | (152) οὗτινος τὸν πάππον Πέλοπα ἐν σιαγόσιν | ἡ Δημήτηρ ἀπὸ Ἔννης, πόληος Σικελικῆς | (153) ἡ δραστηρία· ἔνιοι δὲ ἀπὸ κρήνης ἐν Βοιωτίᾳ. ὄνομα | δαίμων ἐν Ἀρκαδίᾳ· λέγει δὲ τὴν Δήμητραν | ἀπὸ πόλεως, παρὰ Θουρίοις οὕτω τιμωμένη. ξίφη φέρουσα | (154) πολύσαρκα ἢ ἄσαρκα,

145 *τρισὶ ταῖς — α ἐπεμοίρασαν Bachm.* 148 *ὀξυδορκεῖς B* 153 *τιμωμένης B*

(144) αἱ χωλαὶ γὰρ Μοῖραι, ἀπόγονοι τῆς παλαιᾶς θαλάσσης ἤτοι τῆς Τηθύος, τοὺς μνηστῆρας τρισσαῖς ἀτράκτοις ἐπεμοίραναν (146) τὰ νυμφεύματα τῶν γάμων τῆς Ἑλένης πένπανδρα εὐωχηθῆναι.

δύο μὲν ἁρπακτῆρας· (147) ἁρπάκτορας λύκους δύο ἰδεῖν (148) τοὺς ταχεῖς τριόρχας ἀετοὺς ὀφθαλμίας, τὸν Θησέα καὶ τὸν Ἀλέξανδρον, (149) τὸν ἐκ Πλυνοῦ ποτῶν καὶ ἐκ τῶν Καρικῶν πομάτων (150) τῆς ῥίζης βλαστήσαντα, τὸν ἐξ ἡμισείας Κρητικὸν βάρβαρον, (151) τὸν οὔτε Ἐπειὸν οὔτε Λακεδαιμόνιον καθαραῖς σποραῖς Μενέλαον. (152) οὗτινός ποτε τὸν πάππον ἡ Δημήτηρ (153) ἡ ὁρμητικὴ, ἔνθους, ἐρινὺς καὶ ξιφηφόρος (154) πολύσαρκα κατακόψασα τῷ λαιμῷ ἔφαγε,

145 *ἐπεμοίρασαν V* 151 *καθαρὸν γοναῖς V*

τὸν ὠλενίτην χόνδρον ἐνδατουμένη.
ὃν δὴ δὶς ἡβήσαντα καὶ βαρὺν πόθον
φυγόντα Ναυμέδοντος ἁρπακτήριον
ἔστειλ᾽ Ἐρεχθεὺς ἐς Λετριναίους γύας
λευρὰν ἀλετρεύσοντα Μόλπιδος πέτραν
τοῦ Ζηνὶ δαιτρευθέντος Ὀμβρίῳ δέμας,
γαμβροκτόνον ῥαίσοντα πενθεροφθόροις
βουλαῖς ἀνάγνοις, ἃς ὁ Καδμίλου γόνος
ἤρτυσε. τὸν δὲ λοῖσθον ἐκπιὼν σκύφον
φερωνύμους ἔδυψε Νηρέως δόμους,
πανώλεθρον κηλῖδα θωΰξας γένει,

156 *καὶ βαρὺν πόθον* om. *B* 157 *ναυμέδοντος CDE* *λαυμέδοντος* (ν supra lin.) *A* *λαμέδοντος B* *ἢ ναυμέδοντος — ἢ λαμέδοντος τοῦ ἁλιμέδοντος S* *ναυμέδοντος* praefert *T* *λαμέδοντος* vel *λαυμέδοντος P* 158 *Λετριναίους* *Bachm.* *λετρινναίους AB* *λατριναίους C* *λαιτριναίας D* *λαιτρυναίους E* *γύας Reich.* *γυίας V* 163 *λοίσθιον B* *λοῖσθιον* (ον supra lin.) *A* 164 *φερωνύμως A* *φερονόμους B* *δόμους* cl. *P editor* *τάφους V* 165 *γρ. καὶ κληίδα* inter lin. *A*

στερητικοῦ τοῦ ᾱ. εἰς μίκρα διακόπτουσα | κατέφαγεν τῷ φάρυγγι | (155) τὴν ὠμοπλάτην | ἐσθίουσα, ἀπὸ τῆς δαιτός | (156) ἐπειδὴ κατακοπεὶς ἀνέζησεν | (157) τοῦ Ποσειδῶνος οἷον ἁλιμέδοντος | ἥρπασε γὰρ αὐτὸν ὁ Ποσειδῶν | (158) ἀπέστειλεν ὁ Ζεύς | εἰς τὴν γῆν τῶν Λετρίνων· Λέτριννα δὲ πόλις Ἤλιδος | (159) ὁμαλὴν | δραμούμενον, ἡνιοχήσοντα ἢ ἀλήσοντα | ὄνομα κύριον. τοῦ Μόλπιδος τὴν πέτραν | (160) τοῦ τῷ Διὶ σφαγιασθέντος | τὸ σῶμα χάριν ὄμβρου | (161) τὸν Οἰνόμαον, τὸν ἀνῃρηκότα τοὺς τῆς Ἱπποδαμείας μνηστῆρας | φθείροντα ταῖς γαμβροκτόνοις | (162) βουλεύμασιν ἀκαθάρτοις | Καδμῖλος ὁ Ἑρμῆς ἐν Τυρρηνίᾳ, Ἑρμοῦ δὲ υἱὸς καὶ Μυρτοῦς τῆς Ἀμαζόνος ὁ Μυρτῖλος | (163) ἐτύρευσε· τὸν δὲ ἔσχατον | ἐκπιὼν ποτήριον | (164) τοὺς ἀπό τινος συμβεβηκότος τεθέντας ὑπεισῆλθεν | τῆς θαλάσσης τοὺς οἴκους | (165) πάμφθαρτον μολυσμόν | ἐπὶ βλάβῃ βοήσας, παρὰ τὴν θωήν, τῇ γενεᾷ |

154 *στερητικὸν τὸ ᾱ?* *κατέφυγεν B* 156 *ἀνέζησε καὶ τὸν βαρὺν πόθον a* 157 *ἥρπασε* pro *ἥρπαζε Bachm.* 159 *ἡνιοχήσαντα B* 163 *ἐτύρσευσε B* 164 *ὀνομασθέντας ?* 165 *πανάφθαρτον B*

(155) τὸν ὠμοπλάτην κατεσθίουσα. (156) ὅντινα δὶς αὐξηθέντα καὶ τὸν βαρὺν ἔρωτα (157) ἁρπακτικὸν διαφυγόντα τοῦ Ποσειδῶνος (158) ἀπέστειλεν ὁ Ζεὺς εἰς τὰς τῆς Λατρίνης πόλεις, ἤγουν τῆς Ἤλιδος τὰς ὁδοὺς (159) ὁμαλὴν δραμούμενον πέτραν τοῦ Μόλπιδος, (160) τοῦ τῷ Ὀμβρίῳ Διὶ τὸ σῶμα σφαγιασθέντος, (161) τὸν γαμβροκτόνον Οἰνόμαον ἀποκτεῖναι ταῖς πενθεροφθόροις (162) βουλαῖς καὶ ἀκαθάρτοις, ἃς ὁ τοῦ Καδμίλου υἱὸς Μυρτίλλος (163) κατεσκεύασε· τὸ δὲ ἔσχατον ἐκπιὼν ποτήριον (164) τοὺς φερωνύμους ἀπ᾽ αὐτοῦ κατέδυ τοῦ Νηρέως τάφους (165) πανθάνατον μίασμα βοήσας καὶ καταρασάμενος τῷ γένει τῆς Ἱπποδαμείας,

162 *μυρτίλος V*

ὁ τὴν πόδαργον Ψύλλαν ἡνιοστροφῶν
καὶ τὴν ὁπλαῖς Ἅρπινναν Ἁρπυίαις ἴσην.
τὸν δ' αὖ τέταρτον αὐθόμαιμον ὄψεται
κίρκου καταρρακτῆρος, ὄντε συγγόνων
τὰ δευτερεῖα τῆς δαϊσφάλτου πάλης
λαβόντα κηρύξουσιν. ἐν δὲ δεμνίοις
τὸν ἐξ ὀνείρων πέμπτον ἐστροβημένον
εἰδωλοπλάστῳ προςκαταξανεῖ ῥέθει,
τὸν μελλόνυμφον εὐνέτην Κυταϊκῆς,
τῆς ξεινοβάκχης, ὅν ποτ' Οἰνώνης φυγάς,
μύρμων τὸν ἐξάπεζον ἀνδρώσας στρατόν,
Πελασγικὸν Τυφῶνα γεννᾶται πατήρ,

166 *γρ. πόδαγρον* marg. *C*[2] 167 *νωμῶν θ'* pro *καὶ τὴν* conj. *GHerm. V* 237 *ἄρπινν D ἄρπυιννα C* (*ν* post *ι* inseruit *C*[2]) 170 *τὰ δευτερεῖα* om. *B* 174 [β]*εὐνέτιν κυταϊκῆς*: [α]*τὸν μελλόνυμφον B* 175 *φυγάς* omisit, *ὅν ποτ' Οἰνώνης* post *ἐξάπεζον 176 B*

---

(166) ὁ τὴν τοῖς ποσὶν ταχεῖαν ἢ λευκήν. ὄνομα ἵππου Οἰνομάου | ἡνιοχῶν | (167) καὶ τὴν τοῖς ποσίν. ὄνομα ἵππου Οἰνομάου | παραπλησίαν ταῖς τοῦ Βορρᾶ θυγατράσιν | (168) τὸν δὲ δὴ τέταρτον ἀδελφὸν θεάσεται | (169) τοῦ Ἀλεξάνδρου. τοῦ ἰσχυροῦ | ὄντινα Δηίφοβον τῶν συγγόνων | (170) τῆς Ἑλένης· μετὰ γὰρ Ἀλέξανδρον ὁ Δηίφοβος γαμεῖ Ἑλένην | (171) λαβόντα ὀνομάσουσιν, ἐν δὲ τοῖς στρώμασιν | (172) τὸν ἐκ τῶν ὀνείρων πέμπτον· λέγει δὲ τὸν Ἀχιλλέα· ἐστραμμένον | (173) εἴδωλα πλάττοντι κατὰ τοὺς ὕπνους | ἐρεθίσει σώματι, μέλει | (174) τὸν Ἀχιλλέα· μετὰ γὰρ θάνατον μυθεύονται, ὅτι ἠγάγετο Μήδειαν τὴν Αἰήτου ἐν μακάρων νήσοις εἰς γυναῖκα | ἄνδρα τῆς Μηδείας, ἀπὸ Κυταίας, πόληος Κολχίδος | (175) τῆς Μηδείας τῆς ἐπιμανείσης τῷ Ἰάσονι | Οἰνώνη ἐκαλεῖτο ἡ Αἴγινα, ἀφ' ἧς ἔφυγεν ὁ Πηλεὺς φονεύσας τὸν ἀδελφὸν Φῶκον | (176) μυρμήκων. ὅτι ἓξ πόδας ἔχουσιν οἱ μύρμηκες | εἰς ἄνδρας μεταβαλὼν ὄχλον | (177) Θεσσαλικὸν γίγαντα· λέγει δὲ τὸν Ἀχιλλέα | ἀντὶ τοῦ γεννᾷ ὁ πατήρ |

168 *θεάσηται B* 170 *τὸν δεύτερον τῆς a* 172 *τῶν B* 174 *τὸν — γυναῖκα* post *Κολχίδος B* *κύτης B* 175 *Οἰνώνη — Φῶκον* post *μύρμηκες 176 B* 176 *ἄνδρα B*

(166) ὁ τὴν ταχεῖαν τοῖς ποσὶ Ψύλλαν καὶ τὴν ταῖς ὁπλαῖς ταῖς τῶν ἀνέμων φοραῖς ἴσην Ἅρπιναν ἡνιοχῶν. (168) τὸν δὲ τέταρτον τὸν ἀδελφὸν θεάσεται (169) τοῦ ἰσχυροῦ ἱέρακος τουτέστι τοῦ Ἀλεξάνδρου τὸν Δηίφοβον, ὄντινα τῶν ὁμογόνων (170) τὰ δεύτερα τῆς πάλης καὶ μάχης ἕνεκα τῆς Ἑλένης (171) λαβόντα ἀναγορεύσουσιν. ἐν δὲ ταῖς κοίταις (172) τὸν ἐκ τῶν ὀνείρων πέμπτον τεταραγμένον Ἀχιλλέα (173) τῷ πεπλανημένῳ εἰδώλῳ προσκατατρίψει τῷ σώματι, (174) τὸν μελλόνυμφον ξυνευνέτην ἐν τῷ Ἅιδῃ τῆς Κυταϊκῆς Μηδείας (175) τῆς τῷ ξένῳ βακχευθείσης Ἰάσονι, ὄντινά ποτε ὁ πατὴρ καὶ φυγὰς ὁ Πηλεύς, τῶν μυρμήκων τὸν ἐξάπουν στρατὸν ἀνδρεῖον ποιήσας, Θεσσαλικὸν γίγαντα γεννᾷ,

168 *θεάσεται* pro *θεάσηται V*

ἀφ᾽ ἑπτὰ παίδων φεψάλῳ σποδουμένων
μόνον φλέγουσαν ἐξαλύξαντα σποδόν.
Χὣ μὲν παλιμπόρευτος ἵξεται τρίβον,
σφῆκας δαφοινοὺς χηραμῶν ἀνειρύσας
ὁποῖα κοῦρος δῶμα κινήσας καπνῷ·
οἳ δ᾽ αὖ προγεννήτειραν οὐλαμωνύμου
βύκταισι χερνίψαντες ὠμησταὶ πόριν,
τοῦ Σκυρίου δράκοντος εὔτοκον λεχώ,
ἣν ὁ ξύνευνος Σαλμυδησίας ἁλὸς
ἐντὸς ματεύων, Ἑλλάδος καρατόμον,

179 *μοῦνον V* 180 *παλιμπόρευτος ΑΒΠ* *ἵξεται τρίβον* om. *B* 181 *κελαινοὺς* v. l. in *S* 183 *οὐλαμωνύμου ΑΒDEΠs οὐλαδωνύμου* v. l. in *S οὐλαμωνύμου* (*δω* suprascr.) *C*[2] 184 *χερνίψαντες ΑΒΠs χερνίψουσι CDET* *πόριν* om. *B πόριν* (*τ* suprascr.) *A*[2] *πόρριν TCDE* 185 *ἔντοκον V* 186 *σαλμυδισσίας AB* 187 *καρατόμον DEp καράτομον B καράτόμον AC* (accentum in *α* add. *C*[2]) *PS*

(178) λέγεται γὰρ ἡ Θέτις ἑπτὰ παῖδας ἄρρενας ἐκ Πηλέως ἐσχηκέναι | σποδιᾷ, σπινθῆρι, ἄνθρακι | καιομένων· τοὺς γὰρ ἓξ εἰς πῦρ βάλλουσα ἀνεῖλεν | (179) μόνον τὸν Ἀχιλλέα τὴν καίουσαν | ἐκφυγόντα τὴν καῦσιν |
(180) Καὶ ὁ μὲν Ἀλέξανδρος ὀπισθόρμητος, παλίνοστος ἐπανελθών, ὑποστραφείς | (181) τοὺς Ἕλληνας λέγει | ἄγαν φοινίους φωλεῶν, καταδύσεων ἑλκύσας | (182) ὥσπερ νεώτερος τὸ οἴκημα· καὶ γὰρ ὑπὸ καπνοῦ ταράσσονται αἱ σφῆκες | (183) τὴν Ἰφιγένειαν, ἥτις λέγεται γεννῆσαι τὸν Πύρρον· καὶ γὰρ κατά τινας ὁ Πύρρος ἐκ ταύτης | τοῦ Νεοπτολέμου (184) ἀνέμοις | νῦν σφαγιάσαντες. οἱ ὠμοβόροι, οἱ ὠμὰ τὰ κρέα ἐσθίοντες | (185) τοῦ ἀπὸ τοῦ Σκύρου δράκοντος· λέγει δὲ τὸν Νεοπτόλεμον | τὴν ἐγκύμονα καὶ λελοχευμένην | (186) ἥντινα Ἰφιγένειαν ὁ σύγκοιτος Ἀχιλλεύς | τῆς Σκυθικῆς θαλάσσης· Σαλμυδισὸς γὰρ κόλπος τῆς Σκυθίας | (187) ἔσω ζητῶν τῆς Ἑλλάδος | ἢ τὴν καρατομη-

180 *παλίνοστον f* om. *a* *ἀφίξεται εἰς τὴν ὁδὸν* pro *ἐπανελθών a f* 181 *ἄγαν φοινίους* om. *B* 182 *καπνᾶ B* 184 *ἔσθοντες πόρτιν, δάμαλιν ἢ ἔλαφον a* *ἐσθίοντες δάμαλιν ἢ ἔλαφον f* 185 *τῆς Σκ. Bachm.* 186 *Σαλμυδησὸς Bachm.*

(178) ἀπὸ ἑπτὰ παίδων τεφρουμένων καὶ καιομένων (179) μόνον τὴν φλέγουσαν σποδὸν ἐκδραμόντα καὶ ἐκφυγόντα.
(180) καὶ ὁ μὲν Ἀλέξανδρος παλίνοστος καὶ ἐπιστραφεὶς τὴν τρίβον παραγενήσεται, (181) τοὺς θερμοὺς σφῆκας ἤτοι Ἕλληνας τῶν καταδύσεων ἀνελκύσας (182) καθάπερ νέος κατὰ τὸ δῶμα τῷ καπνῷ κινήσας καὶ ταράξας· (183) οἱ δὲ ὠμοφάγοι Ἕλληνες τὴν πρώτην γεννήσασαν τὸν ἐπώνυμον τοῦ πολέμου Νεοπτόλεμον Ἰφιγένειαν τοῖς ἀνέμοις ὡς δάμαλιν σφαγιάσαντες, (185) τὴν τὸν ἀπὸ Σκύρου δράκοντα τουτέστι Νεοπτόλεμον ἐν γαστρὶ ἔχουσαν καὶ λελοχευμένην, (186) ἥντινα ὁ σύγκοιτος Ἀχιλλεὺς τοῦ Εὐξείνου πόντου (187) ἔσωθε ζητῶν, τὴν τῶν Ἑλλήνων καρατόμον καὶ φονεύτριαν

180 *ὑποστραφεὶς Bachm.* e *P* 185 *τὸν — δράκοντα* pro *τοῦ — δράκοντος V*

δαρὸν φαληριῶσαν οἰκήσει σπίλον
Ἴστρου πρὸς ἐκβολαῖσι λιμναίων ποτῶν,
ποθῶν δάμαρτα, τήν ποτ' ἐν σφαγαῖς κεμὰς
λαιμὸν προθεῖσα φασγάνων ἐκ ῥύσεται —
βαθὺς δ' ἔσω ῥηγμῖνος αὐδηθήσεται
ἔρημος ἐν κρόκαισι νυμφίου δρόμος,
στένοντος ἄτας καὶ κενὴν ναυκληρίαν
καὶ τὴν ἄφαντον εἶδος ἠλλοιωμένην
γραῖαν σφαγείων ἠδὲ χερνίβων πέλας
Ἅιδου τε παφλάζοντος ἐκ βυθῶν φλογὶ
κρατῆρος, ἣν μέλαινα ποιφύξει βροτῶν

189 *Ἴστρου* editor *Κέλτρου V κέλτου d ἐν τισι βιβλίοις λέκτρου* int. lin. *C*[2] 192 *δ'* om. *A* *αὐδηθήσεται* om. *B* 193 *κρόκησι A*

196 *σφαγείων A* (ι supra) *σφαγίων B* (ι ex ει) *CD* 198 *ἣν Muell. I 36 ὃν V* *φθιτῶν V*

θεῖσαν ἢ τὴν καρατομοῦσαν, πρὸς διάφορον τόνον | (188) ἐπὶ πολὺν χρόνον. λευκήν· ἔστι δὲ νῆσος· τὴν ἀπὸ πολλῶν πελαργῶν | οἰκήσει τὴν Λευκὴν νῆσον τὴν ἐν Ἴστρῳ τῷ ποταμῷ | (189) ὄνομα λίμνης ἢ ποταμοῦ, ἐξ οὗ ὁ Ἴστρος ἐκδίδωσι | πρὸς ταῖς ἐκβολαῖς τῶν ῥευμάτων | (190) ποθῶν τὴν γυναῖκα Ἰφιγένειαν, ἥντινά ποτε ἐν ταῖς σφαγαῖς | ἡ ἔλαφος (191) τὸν τράχηλον ἢ λαιμὸν προτείνασα | τοῦ ξίφους ἐλευθερώσει | (192) βαθὺς δὲ δρόμος ἔσω τοῦ λιμένος ἢ αἰγιαλὸς μέχρι τῶν ἐρήμων τῆς Σκυθίας Ἀχίλλειος λεχθήσεται | (193) ἠρημωμένος τοῖς αἰγιαλοῖς ὁ Ἀχίλλειος δρόμος | (194) στενάζοντος τὰς βλάβας καὶ ματαίαν πορείαν | (195) καὶ τὴν ἀφανισθεῖσαν ἐπὶ τῷ βωμῷ | μεταμορφωθεῖσαν ὑπὸ Ἀρτέμιδος εἰς γραῦν· ἢ γραῖαν σφαγείων· ἐν σφαγαῖς γηράσασαν | (196) τὴν γεγηρακυῖαν ἐν ταῖς σφαγίοις ἢ τὴν μεταβληθεῖσαν εἰς γραῖαν, διὰ τὸ μὴ γνωρισθῆναι ὑπὸ Ἑλλήνων | τῶν σφαγίων καὶ τῶν χερνίβων πλησίον | (197) καὶ τοῦ παφλάζοντος Ἅιδου πλησίον ἐκ τῶν βυθῶν τῇ φλογί· κρατῆρα δὲ Ἅιδου λέγει τὸν λέβητα διὰ τὸ εἰς αὐτὸν κατασφάζεσθαι τοὺς ξένους | (198) τοῦ κρατῆρος Ἅιδου

---

188 [*τὴν*] *ἀπὸ τῶν π. π.*? an *οἰκουμένην* addendum? 192 *ἐκ* pro *ἔσω B* 193 *ταῖς B*

(188) καὶ ἐπὶ πολὺν χρόνον τὴν λευκὴν νῆσον τὴν καλουμένην Σπίλον κατοικήσει (189) πρὸς ταῖς ἐκβολαῖς τῶν λιμναίων πομάτων τῆς Κέλτρου λίμνης, (190) ποθῶν τὴν γαμετήν, ἥντινά ποτε ἐν ταῖς σφαγαῖς ἔλαφος (191) τὸν λαιμὸν ἐκτείνασα ἐκ τῶν ξιφῶν ῥύσεται. (192) βαθὺς δὲ ἔσω τοῦ αἰγιαλοῦ ἐρημικὸς ἐν ταῖς ψάμμοις τοῦ νυμφίου ἤτοι τοῦ Ἀχιλλέως δρόμος κληθήσεται καὶ λεχθήσεται, (194) στενάζοντος τὰς βλάβας καὶ τὴν ματαίαν πορείαν τῶν πλοίων (195) καὶ τὴν ἀφανῆ, τὴν τὸ εἶδος ἀλλάξασαν (196) γραῖαν Ἰφιγένειαν ἐγγὺς τῶν σφαγίων καὶ τῶν θυσιῶν (197) καὶ τοῦ παφλάζοντος καὶ βράζοντος κρατῆρος τῇ φλογὶ ἐκ τῶν βυθῶν τοῦ Ἅιδου, ὅντινα ἡ μέλαινα θεὸς ἤτοι Περσεφόνη φυσήσει τῶν νεκρῶν

---

188 *τὴν Λευκὴν νῆσον* [*τὴν*] *καλουμένην σπῖλον*?

σάρκας λεβητίζουσα δαιταλουργίᾳ.
Χὠ μὲν πατήσει χῶρον αἰάζων Σκύθην,
εἰς πέντε που πλειῶνας ἱμείρων λέχους·
οἱ δ' ἀμφὶ βωμὸν τοῦ προμάντιος Κρόνου,
σὺν μητρὶ τέκνων νηπίων κρεανόμου,
ὅρκων τὸ δευτεροῦχον ἄρσαντες ζυγὸν
στερρὰν ἐνοπλιοῦσιν ὠλέναις πλάτην,
σωτῆρα Βάκχον τῶν πάροιθε πημάτων
Σφάλτην ἀνευάζοντες, ᾧ ποτ' ἐν μυχοῖς
Δελφινίου παρ' ἄντρα Κερδῴου θεοῦ

202 *προμάντ*ιος* (ε erasum) *B* *προμάντεως E* 205 *ἐνοπλιοῦσιν editor* *ἐνοπλίσσουσιν A* *ἐνοπλίσουσιν BCDE* *ἐναπλώσουσιν P*?

πλησίον, ἀπὸ κοινοῦ· λέγει δὲ διὰ τὸ εἰς αὐτὸν τοὺς ξένους κατασφάττεσθαι | ὅντινα κρατῆρα. ἡ Φερσεφόνη ἐστίν. φυσήσει νεκρῶν | (199) τὰς σάρκας εἰς λέβητα βάλλουσα | τῇ μαγειρίᾳ, τῇ ξενοκτονίᾳ |

(200) Καὶ ὁ μὲν Ἀχιλλεὺς ἐνδιατρίψει εἰς τὸν χῶρον | θρηνῶν τὸν Σκύθην | (201) εἰς πέντε χρόνους καὶ ἐνιαυτούς· πλειὼν δὲ ἡ εὐθεῖα | ἐπιθυμῶν λέχους τῆς Ἰφιγενείας | (202) οἱ δὲ περὶ τὸν βωμὸν | τοῦ προμαντευσαμένου αὐτοῖς τὸν δεκαετῆ χρόνον τῆς Ἰλίου πορθήσεως ἐν Αὐλίδι | ἢ τοῦ ἀρχαίου ἢ τοῦ φοβεροῦ· λέγει δὲ τὸν δράκοντα | (203) σὺν τῇ τῶν τέκνων μητέρι. μικρῶν | τοῦ τοὺς νεοσσοὺς τῆς στρουθοῦ καὶ αὐτὴν τὴν στρουθὸν φαγόντος δράκοντος | (204) ἐπειδὴ τὸ πρῶτον ὅρκους ἔδωκαν περὶ τῆς Ἑλένης, νῦν δὲ περὶ τῆς στρατιᾶς, ὅ ἐστι δευτεροῦχον | ἁρμόσαντες τὸν ζυγόν | (205) ἀντὶ τοῦ ἐνοπλίσουσιν ἢ ἐναρμόσουσιν | ταῖς χερσὶν εἰρεσίαν, κωπηλασίαν | (206) τὸν Διόνυσον, ὅτι αἴτιος αὐτοῖς ἐγένετο τοῦ μὴ ἀπολέσθαι ἐν Μυσίᾳ | τῶν πρώην βλαβῶν | (207) τὸν σφαλῆναι ποιήσαντα τὸν Τήλεφον | ἀνυμνοῦντες, ᾧτινί ποτε ἐν τοῖς ἐσχάτοις | (208) παρὰ τὰ σπήλαια τοῦ Ἀπόλλωνος· Δελφίνιος δὲ ἐκλήθη, ὅτι ὀχούμενος δελφῖνι ἀπὸ Δήλου εἰς τὴν Πυθὼ . . . . . . | ἐπικερδοῦς θεοῦ |

198 *ἕψει* pro *ἐστίν Bachm.* 200 leg. *Σκυθικόν* 203 *τὰς νεοσσοὺς B* 205 leg. *τὰς χεῖρας εἰρεσίᾳ, κωπηλασίᾳ* 206 *αὐτῷ B* *αὐτοῖς ἐγένετο* om. *a* 207 *ἀναυμνοῦντες a* *ἀναμυοῦντες B* 208 lacunam indicavit *Bachm.*

(199) τὰς σάρκας τῷ λέβητι ἐκκαίουσα τῇ μαγειρίᾳ. (200) καὶ ὁ μὲν Ἀχιλλεὺς πατήσει τόπον Σκυθικὸν στενάζων, (201) εἰς πέντε που ἐνιαυτοὺς ἐπιθυμῶν τῆς κοίτης· (202) οἱ δὲ Ἕλληνες περὶ τὸν βωμὸν τοῦ προμάντεως υἱοῦ τοῦ Κρόνου Διός (203) τοῦ σὺν τῇ μητρὶ [στρουθῶν] τῶν νηπίων τέκνων στρουθῶν κρεανομοῦντος, (204) τὸν δεύτερον ὅρκον καὶ ζυγὸν ποιήσαντες (205) ἰσχυρὰν καθοπλίσουσι ταῖς χερσὶν εἰρεσίαν καὶ κωπηλασίαν, (206) σωτῆρα τὸν Διόνυσον καὶ Βάκχον καὶ Σφάλτην τῶν ἔμπροσθεν κακῶν καὶ κινδύνων ἀνακαλούμενοι, ᾧτινί ποτε τῷ Ταύρῳ Διονύσῳ ⟨ἐν⟩ τοῖς ἐσωτάτοις παρὰ τὰ σπήλαια τοῦ Κερδῴου καὶ Δελφινίου θεοῦ Ἀπόλλωνος μυστικὰς θυσίας τελέσει

202 *περὶ* pro *ἐπὶ editor* 203 *στρουθῶν* inclusi 206 ⟨*ἐν*⟩ add. *Bachm.*

Ταύρῳ κρυφαίας χέρνιβας κατάρξεται
ὁ χιλίαρχος τοῦ πολιρραίστου στρατοῦ.
ᾧ θυμάτων πρόσπαιον ἐκτίνων χάριν
δαίμων Ἐνόρχης Φιγαλεὺς Φαυστήριος
λέοντα θοίνης ἴχνος ἐμπλέξας λύγοις
σχήσει τὸ μὴ πρόρριζον ἀστῶσαι στάχυν
κείροντ' ὀδόντι καὶ λαφυστίαις γνάθοις.
Λεύσσω πάλαι δὴ σπεῖραν ὁλκαίων κακῶν,
σύρουσαν ἅλμῃ κἀπιροιζοῦσαν πάτρᾳ
δεινὰς ἀπειλὰς καὶ πυριφλέκτους βλάβας.

209 *κατάρξεται* om. *B* 210 *πολυρραίστου D πολυραίστου E πτολιρραίστου AB* 212 *φιγαλεὺς* (η above ι) *C²T φηγαλεὺς DE* 214 *στάχυν* om. *B* 216 *λεύσσω ABCDp* 217 *πάτρῃ V*

---

(209) τῷ Διονύσῳ | μυστικὰς θυσίας κατάρξεται | (210) ὁ χιλιόναυς, τῷ τελείῳ ἀριθμῷ | τοῦ τὰς πόλεις φθείροντος | (211) ᾧτινι Ἀγαμέμνονι πρόσφατον· τοῦτο γὰρ δηλοῖ τὸ πρόσπαιον | ἀντιπαρέχων | (212) ὁ Διόνυσος, ὅτι μετὰ ὀρχήσεων αὐτοῦ τελεῖται τὰ μυστήρια ὁ Διόνυσος ἐν Φιγαλίᾳ | ὁ Διόνυσος, ὅτι μετὰ λαμπάδων ἄγεται αὐτῷ τὰ μυστήρια | (213) ὡς λέοντα τῆς τροφῆς ἢ εὐωχίας· λείπει δὲ τὸ ὡς· καὶ λέγει τὸν Τήλεφον | τὸν πόδα ἐμπλακεὶς κλήμασι, κλάδοις φυτοῦ | (214) ἐμποδίσει ἐκ ῥιζῶν | ἀφανίσαι στάχυν· λείπει τὸ ὡς, ἵν' ᾖ ὡς στάχυν | (215) κόπτοντα τῷ ὀδόντι | λαφυσσούσαις, δαπανητικαῖς. στόμασι |

(216) Περὶ τοῦ πλοῦ λέγει τοῦ εἰς Τροίαν τῶν Ἑλλήνων | συναγωγὴν, ἥτις συνίσταται ἐξ ἑκατὸν ἀνδρῶν, φησὶ τὸ εὐαγγέλιον. ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος . . . . . | τῶν πλοίων, παρὰ τὸ ἕλκεσθαι | (217) σύρουσαν τῇ θαλάσσῃ | καὶ ἀπειλοῦσαν, λέγει δὲ ἐμπρησμόν | (218) φοβερὰς ἀπειλὰς τὰς διὰ πυρός |

215 *δαπανιστικαῖς B ἀφανιστικαῖς Bachm.* 216 | *ὁρῶ δὴ πάλαι συναγωγὴν a* lacunam indicavit *Bachm.* excidit *ἀπηρτισμένως εἴρηται* vel *κατὰ τέλειον ἀριθμόν* cf. 210 217 *ἀπειλοῦσαν, θροοῦσαν a ἐμπρησμόν Bachm. ἐμπρισμόν B ἐκ πρισμοῦ f περὶ ἐμπρησμοῦ a*

(210) ὁ τῶν χιλιάδων ἄρχων τοῦ τὰς πόλεις πορθοῦντος στρατοῦ Ἀγαμέμνων. (211) ᾧτινι τῶν θυμάτων τὸ πρόσφατον ἀποτινύων καὶ ἀνταμειβόμενος τὴν χάριν (212) ὁ Ἐνόρχης, Φιγαλεὺς καὶ Φαυστήριος θεὸς Διόνυσος (213) τὸν λέοντα ἤγουν τὸν Τήλεφον τῆς σφαγῆς καθέξει καὶ κωλύσει τὸ ἴχνος ἤτοι τὸν πόδα τοῖς κλάδοις ἀμπέλου ἐμπλέξας τὸ μὴ ἐκ ῥιζῶν ἀφανίσαι τοὺς Ἕλληνας ὡς στάχυν (215) τέμνοντα τῷ ὀδόντι καὶ ταῖς δαπανητικαῖς σιαγόσιν.

Λεύσω πάλαι δὴ σπεῖραν ὁλκαίων κακῶν· (216) βλέψω πάλαι δὴ συναγωγὴν ὁλκάδων καὶ πλοίων κακῶν (217) συρομένων τῇ ἅλμῃ καὶ ἀπειλοῦσαν καὶ θροοῦσαν τῇ πατρίδι (218) φοβερὰς ἀπειλὰς καὶ ἐκ πυρὸς ἀναπεφλεγμένας βλάβας.

215 *τέμνοντα* pro *τέμνοντος* editor

Θύσαισιν ἁρμοῖ μηλάτων ἀπάργματα
φλέγουσαν ἐν κρόκαισι καὶ Βύνῃ θεᾷ,
θρέξεις ὑπὲρ Σκάνδειαν Αἰγίλου τ' ἄκραν,
αἴθων ἐπακτὴρ καγχαλῶν ἀγρεύματι.
νήσῳ δ' ἐνὶ δράκοντος ἐκχέας πόθον
Ἀκτῆς, διμόρφου γηγενοῦς σκηπτουχίας,
τὴν δευτέραν ἕωλον οὐκ ὄψει Κύπριν,
ψυχρὸν παραγκάλισμα κἀξ ὀνειράτων
κεναῖς ἀφάσσων ὠλέναισι δέμνια.
ὁ γάρ σε συλλέκτροιο Φλεγραίας πόσις
στυγνὸς Τορώνης, ᾧ γέλως ἀπέχθεται
καὶ δάκρυ, νῆϊς δ' ἐστὶ καὶ τητώμενος
ἀμφοῖν, ὃ Θρῄκης ἔκ ποτ' εἰς ἐπακτίαν

106 *Θύσαισιν* editor *θύσησιν CDE γρ. θύσῃσιν* marg. *AT θύστῃσιν ABΠ ἀρμῶ*[οῖ] *B* 107 *κρόκῃσι V* 109 *ὀγρεύματα B* 111 *σκηπτουχίας*[αι] *B* 112 *ἕωλον AB* (*ε* in litura *B*) *E* 113 *παρ' ἀγκάλισμα P* 115 *οὐ BP ὁ* E* 118 *ὁ V ὃ Θρῄκης ἔκ ποτ'* om. *B*

(106) ἐν θυσίαις οὕτω καλουμέναις· τὸ δὲ ἁρμοῖ νεωστί | προβάτων ἀπαρχάς | (107) καίουσαν ἐν θαλασσίαις ψήφοις, παρὰ τὸ κρούεσθαι | καὶ Δύνῃ, τῇ Ἰνοῖ, παρὰ τὸ δῦναι, β ἀντὶ τοῦ δ, δωρικῶς | (108) δραμῇ | τόπος Πελοποννήσου | τόπος Πελοποννήσου ἢ Λακωνικῆς | (109) διάπυρος κυνηγός, χαίρων | θηράματι | (110) ἐν δὲ τῇ τοῦ Κέκροπος νήσῳ | ἐκχέας τὸν πόθον (111) τῆς Ἀττικῆς | διφυοῦς ἀνδρός βασιλείας | (112) τὴν δευτέραν καὶ παλαιὰν ἢ ματαίαν | οὐ θεάσῃ μίξιν | (113) παρὰ τὸ ψυχρὸν ἀγκάλισμα | καὶ ἐκ τῶν ὀνειράτων | (114) κεναῖς ψηλαφῶν | ἀγκάλαις κοίτας | (115) οὐδαμῶς γάρ σε συνεύνου | ὁ Πρωτεύς. Φλεγραία δὲ πόλις Θράκης, ἐξ ἧς γενομένη τοῦ Πρωτέως γυνὴ Τορώνη, ἐν ᾗ πόλει ἐφλέγησαν οἱ Γίγαντες | (116) ὁ κατηφής· Τορώνη δὲ γυνὴ Πρωτέως | ᾧτινι γελως ἀπεχθάνεται καὶ δάκρυον | (117) ἄπειρος δ' ὑπάρχει | καὶ στερισκόμενος ἢ στερούμενος | (118) ἀμφοτέροιν | εἰς τὴν Φάρον Ἀλεξανδρείας |

108 *δράμῃς* ? 113 *παρὰ* pro *περὶ Bachm.* 115 *ὁ γάρ σε* in litura *a* (a² ?) 118 *ὁ ἐκ τῆς θράκης ποτὲ* inter *ἀμφ.* et *εἰς a*

(106) ταῖς θυσίαις νεωστὶ τῶν προβάτων (107) καίουσαν ἐν ταῖς θαλασσίαις ψήφοις τῇ θεᾷ Ἰνοῖ, (108) δράμῃς ὑπὲρ τὴν Σκάνδειαν καὶ τὴν τοῦ Αἰγίλου ἄκραν, (109) διάπυρος κυνηγὸς χαίρων τῷ θηράματι.

Νήσῳ δ' ἐνὶ δράκοντος· (110) ἐν δὲ τῇ τῆς Ἀττικῆς νήσῳ, τῆς τοῦ Κέκροπος τοῦ διφυοῦς γίγαντος βασιλείας, τὸν πόθον ἐκχέας καὶ ἐκκενώσας (112) τὴν χθεσινὴν καὶ παλαιὰν μίξιν τῆς Ἑλένης οὐκ ὄψει, (113) νεκρὸν παρηγόρημα ἐκ τῶν ὀνειράτων (114) κεναῖς ταῖς ἀγκάλαις ψηλαφῶν τὰ κοιτάρια. (115) ὁ γὰρ Πρωτεύς, ὁ τῆς ἐκ Φλεγραίας πόλεως Τορώνης τῆς συζύγου ὁ στυγνὸς ἀνήρ, (116) ᾧτινι γελως καὶ δάκρυ μεμίσηται καὶ ἀπέστραπται· ἄπειρος γάρ ἐστι καὶ στερισκόμενος (118) ἀμφοτέρων· ὁπότε ἐκ τῆς Θράκης εἰς τὴν Αἴγυπτον

106 *προβάτων ἀπαρχὰς V* 115 *ὁ τῆς* pro *ὅστις V*

γραῖαν ξύνευνον Ὠγένου Τιτανίδα.
Καὶ δὴ διπλᾶ σὺν πατρὶ ῥαίεται τέκνα,
στερρῷ τυπέντι κλεῖδας εὐάρχῳ μύλῳ,
τὰ πρόσθεν αὐλητῆρος ἐκπεφευγότα
ψυδραῖσι φήμαις λαρνακοφθόρους ῥιφάς,
ᾧ δὴ πιθήσας στυγνὸς ἄρταμος τέκνων,
αἰθυιόθρεπτος πορκέων λιναγρέτης
κρηθμοῖσι καὶ ῥαιβοῖσι νηρίταις φίλος,
χηλῷ κατεδρύφαξε διπτύχους γονάς.
σὺν τοῖς δ' ὁ τλήμων, μητρὸς οὐ φράσας θεᾶς
μνήμων ἐφετμάς, ἀλλὰ ληθάργῳ σφαλείς,

231 *σύνευνον CD* *Τιτανίδα editor τιτηνίδα ACDE τητινίδα B* 232 *ῥαίνεται B* 233 *τυπέντι Scal.* ap. *Meurs. τυπέντα v* *εὐάρχῳ Eust.* *εὐάρχου v* 235 *λαρνακοφθόρους AB* cf. *P λαρνακοφόρους DEp λαρνακοφόρους* (θ suprascr.) *TC²* 236 *ᾧ δὴ πιθήσας* om. *B* 237 *αἰθυόθρεπτος ABCE* 238 *νειρίταις CDE*

(231) τὴν ὁμόζυγον γραῖαν, τὴν θάλασσαν· ξύνευνον δὲ τοῦ Ὠκεανοῦ τὴν Τηθύν | τοῦ Ὠκεανοῦ· οὕτω γὰρ πάλαι ἐκαλεῖτο | τὴν Τηθύν· λέγει δὲ τὴν θάλασσαν |

(232) Καὶ δὴ σὺν τῷ πατρὶ δύο φθείρεται τέκνα | (233) τῷ ἰσχυρῷ πληγέντα μεταξὺ τῶν ὤμων | τῷ λίθῳ τοῦ εὐάρχου Ἀχιλλέως | (234) τὰ πρότερον τοῦ αὐλητῆρος ἐκφυγόντα | (235) ἐψευσμέναις λοιδορίαις | ἐν λάρνακι ἐφθαρμένους· λέγει δὲ τοὺς παῖδας τοῦ Κύκνου Τέννην καὶ Ἡμιθέαν | ῥίψεις | (236) ὁ φοβερὸς φονεύς, παρὰ τό·

στυγέει δὲ καὶ ἄλλους

ὁ Κύκνος | (237) ὁ σὺν ταῖς αἰθύαις τεθραμμένος | ἁλιέων | ὁ ὑπὸ τῶν . . . ἰχθύων ἀγρευθείς | (238) λάχανον ἄγριον, ἢ ὀστρέοις | κογλίαις ἢ καμπύλοις | κόγχοις | προσδιέτριβε γὰρ μετὰ τῶν ἁλιέων | (239) κιβωτῷ, λάρνακι κατησφαλίσατο, κατέκλεισεν | τοὺς δύο υἱοὺς Τέννην καὶ Ἡμιθέαν | (240) σὺν τούτοις δ' ὁ ταλαίπωρος | τῆς Θέτιδος | (241) ὁ Μνήμων, ὄνομα κύριον, τὰς ἐντολὰς τῆς Θέτιδος | ἀλλὰ τῇ λήθῃ ἀποσφαλείς, ἁμαρτήσας |

233 *πληγέντων B* 236 *A 186* 237 *αἰθυίαις Bachm.* post *τῶν* lacunam indicavi: intercidisse videntur *ἁλιέων ἐν λίνοις δίκην* cf. *s* *δικτύων* pro *ἰχθύων a f*

(231) γραῖαν ξύνευνον λέγει τὴν Τηθὺν τοῦ Ὠκεανοῦ· ἡ αὐτὴ δέ ἐστι τῇ θαλάσσῃ· Ὠγένου δὲ τοῦ Ὠκεανοῦ· οὕτω γὰρ ἐκαλεῖτο πρότερον. (232) καὶ δὴ δισσὰ σὺν τῷ πατρὶ ἀναιρεῖται τέκνα, (233) ἰσχυρῷ πληγέντα κατὰ τὰς κλεῖδας λίθῳ τοῦ καλῶς ἄρχοντος Ἀχιλλέως, (234) τὰ ἔμπροσθεν διαφυγόντα ταῖς ψευδέσι φήμαις τοῦ αὐλητοῦ Μόλπου σὺν τῷ λάρνακι ῥιφάς, (236) ᾧτινι δὴ Μόλπῳ πιστεύσας ὁ φοβερὸς φονεὺς τῶν τέκνων Κύκνος, (237) ὑπὸ τῶν αἰθυιῶν τεθραμμένος, ὁ ὑπὸ ἁλιέων τοῖς δικτύοις ἀγρευθείς, (238) ὁ τοῖς ὀστρέοις καὶ τοῖς κογλίαις τοῖς θαλασσίοις φίλος, (239) τῇ κιβώτῳ καὶ τῇ λάρνακι κατέκλεισε τὰ δύο τέκνα. (240) σὺν τούτοις δὲ ὁ ταλαίπωρος Μνήμων τῆς μητρὸς θεᾶς Θέτιδος οὐκ εἰπὼν τὰς ἐντολάς, ἀλλὰ τῇ λήθῃ ἀποσφαλείς,

233 *καλῶς* pro *καλοῦ V*

πρηνὴς θανεῖται στέρνον οὐτασθεὶς ξίφει.
Καὶ δὴ στένει Μύρινα καὶ παράκτιοι
ἵππων φριμαγμὸν ἠόνες δεδεγμέναι,
ὅταν Πελασγὸν ἅλμα λαιψηροῦ ποδὸς
εἰς θῖν᾽ ἐρείσας λοίσθιον αἴθων λύκος
κρηναῖον ἐξ ἄμμοιο ῥοιβδήσῃ γάνος,
πηγὰς ἀνοίξας τὰς πάλαι κεκρυμμένας.
Καὶ δὴ καταίθει γαῖαν ὀρχηστὴς Ἄρης,
στρόμβῳ τὸν ἁρμάτειον ἐξάρχων νόμον,
ἅπασα δὲ χθὼν προὐμμάτων δῃουμένη
κεῖται, πέφρικαν δ᾽ ὥστε λήιον γύαι

242 *στέρνων* (*ον* supra) *C*² supra *ον* aliquid quod non extrico *οὐτα•θεὶς C* supra *οὐτηθεὶς C*² *οὐταθεὶς BE* 243 *μύριννα CD* 244 *φρυμαγμὸν Lob. Rhem. 241, 1* 246 *λοισθίον* (*ον* supra) *A*² (*ιο* radendo ex *ια* factum, *λοισθίαν* (*ο* supra) *V*, *α* adrasum) quae v. l. e *p* hausta est, sed *λοίσθιον* explicare videtur *s* *λοισθίαν BCDEP* 247 *ἄμοιο D* cf. *T* *ῥοιβδήσει BDE* 250 *Ἁρμάτειον M. Schmidt Mus. Rh. XXVI 222* *αἱματηρὸν ACDE* *αἱματηρ᾽ B* 252 *κεῖται* om. *B* *ληίου V* *γύαι Meurs.* *γυίαι AC* (´ in ῀ mutavit *C*²) *γυῖαι BDE*

(242) ἐπὶ στόμα ἀποθανεῖται | τὸ στῆθος τρωθεὶς τῷ ξίφει |
(243) Καὶ δὴ στενάζει. μία τῶν Ἀμαζόνων, ἀφ᾽ ἧς τόπος ἐν Τροίᾳ | καὶ οἱ παρὰ τὴν ὄχθην | (244) τῶν ἵππων τὸν χρεμετισμόν | αἰγιαλοί. δεξάμεναι | (245) ὁπόταν τὸ Θεσσαλὸν πήδημα· λέγει δὲ Ἀχιλλέως | τοῦ ταχέος ποδὸς | (246) εἰς αἰγιαλὸν ἐπιστηρίσας | ἐσχάτην διάπυρος καὶ θερμός. λέγει δὲ Ἀχιλλέα | (247) πηγαῖον ἐκ τῆς ἄμμου | ἀναδώσει, ἀνακολάψει. τὸ ὕδωρ, ἐφ᾽ ᾧ τις γάνυται | (248) τὰς πηγὰς ἐκφράξας | τὰς πρὶν ἠφανισμένας |
(249) Καὶ κατακαίει δὴ τὴν γῆν | ἐπειδὴ οἱ εἰς πόλεμον ἐξερχόμενοι ἐπετήδευον μέλη τινὰ παροξυντικὰ τοῦ πολεμεῖν πρὸς τὸ παροξῦναι τοὺς ἀκούοντας καὶ εἰς ἀνδρείαν κινῆσαι | (250) κόχλῳ ἤγουν σάλπιγγι· οἱ γὰρ παλαιοὶ πυρφόροις ἀντὶ σαλπίγγων ἐχρῶντο | τὸν αἵμασι χρώμενον ἡγούμενος θεσμόν | (251) ἅπασα δὲ γῆ προὐφθαλμιῶν | καιομένη | (252) πεφρίκασι δ᾽ ὥσπερ | σιτοφόρου χωρίου πλέθρα |

246 *διάπυρος καὶ θερμός* pro *διάπυρον καὶ θερμὸν Bachm.* 250 leg. *πορφύραις* leg. *κεχρωσμένον θεσμός B* 251 *ἡ γῆ a f*

(242) ἐπὶ πρόσωπον πεσὼν ἀποθανεῖται, κατὰ τὸ στῆθος πληγεὶς ξίφει. (243) καὶ δὴ στενάζει καὶ στενοχωρεῖται ἡ Μύρινα καὶ αἱ ὄχθαι, (244) τῶν ἵππων τὸν χρεμετισμὸν οἱ αἰγιαλοὶ προσδεχόμενοι, (245) ὁπόταν τὸ Θεσσαλικὸν πήδημα τοῦ ταχέος ποδὸς (246) εἰς τὸν αἰγιαλὸν στηρίξας τὸ ἔσχατον καὶ τελευταῖον ὁ θερμὸς λύκος Ἀχιλλεὺς (247) πηγαῖον ἐκ [τοῦ] τῆς ἄμμου ἀναδώσῃ ὕδωρ, (248) τὰς πηγὰς τὰς πάλαι κεκρυμμένας ἀνοίξας. (249) καὶ δὴ κατακαίει τὴν γῆν ὀρχηστὴς πόλεμος (250) τῷ κόχλῳ ἤγουν τῇ σάλπιγγι τὸν πολέμιον νόμον ἠχῶν καὶ κτυπῶν, (251) ἅπασα δὲ ἡ γῆ πρὸ τῶν ὀμμάτων καὶ τῶν ὀφθαλμῶν πορθουμένη καὶ αἰχμαλωτιζομένη (252) πρόκειται, πεφρίκασι δὲ ταῖς λόγχαις καὶ τοῖς ξίφεσι ἀποστίλβοντες οἱ Ἕλληνες καθάπερ σιτοφόρου χώρου, πεδίου πλέθρα ἤτοι μέτρα. ἡ οἰμωγὴ δὲ καὶ ἡ βοὴ

246 *τὸν ἔσχατον* — ?

λόγχαις ἀποστίλβοντες, οἰμωγὴ δέ μοι
ἐν ὠσὶ πύργων ἐξ ἄκρων ἰνδάλλεται,
πρὸς αἰθέρος κυροῦσα νηνέμους ἕδρας,
γόῳ γυναικῶν καὶ καταρραγαῖς πέπλων,
ἄλλην ἐπ᾽ ἄλλῃ συμφορὰν δεδεγμένων.
Ἐκεῖνό σ᾽, ὦ τάλαινα καρδία, κακόν,
ἐκεῖνο δάψει πημάτων ὑπέρτατον,
εὖτ᾽ ἂν λαβράζων περκνὸς αἰχμητὴς χάρων
πτεροῖσι χέρσον αἰετὸς διαγράφων
ῥαιβοῖ τυπωτὴν τόρμαν ἀγκύλῃ βάσει,
κλάζων τ᾽ ἄμικτον στόματι ῥιγίστην βοήν,
τὸν φίλτατόν σου τῶν ἀγαστόρων τρόφιν
Πτῴου τε πατρὸς ἁρπάσας μετάρσιον,

255 *κυροῦσα*[ι ν] *C²* *κύρουσα GHerm. V 238* 258 *κακὸν*[ω] *A* cf. *p 259* 261 *χέρσον* om. *B* 262 *ῥαιβῷ v* post 262 Scaligeri monitu editores post Meursium omnes praeter Bachmannum v. 268 inseruerunt 265 *πτώου* *BCDE*

---

(253) τοῖς δόρασι λάμποντες | θρῆνος δέ μοι | (254) ἐν τοῖς ὠσὶ τῶν πύργων ἐκ τῶν ἄκρων ὁμοιοῦται | (255) πρὸς τοῦ ἀέρος ἐπιτυγχάνουσα | τὰς ἀνηνέμους βάσεις | (256) θρήνῳ γυναικῶν | καὶ σχίσεσι τῶν ἱματίων | (257) ἄλλην ἐπ᾽ ἄλλῃ συμφορὰν δεδεγμένων |

(258) Ἐκεῖνό σ᾽, ὦ ταλαίπωρε ψυχή, κακόν | (259) ἐκεῖνο λυπήσει βλαβῶν ἐξοχώτατον | (260) ὁπόταν λάβρος γενόμενος | ταχύς· ἔστι δὲ εἶδος ἀετοῦ | ὁ πολεμιστὴς χάρων, ὁ αἰχμητής | (261) τοῖς τροχοῖς, διὰ τὸ τάχος· ἐπιμένει δὲ τῇ ἀλληγορίᾳ | ὁ Ἀχιλλεὺς διαχχράσσων | (262) τῷ ἀγκύλῳ· τοπάζουσαν τὰς τροχιὰς ἐν τῇ γῇ | τὸ στάδιον | ἐπικαμπεῖ βάσει | (263) καὶ κράζων ἀμιγές· ἰδίαν γὰρ φωνὴν ἔχει ὁ ἀετός | τῷ στόματι φρικτὴν κλαγγήν | (264) τὸν προσφιλῆ σου τῶν ὁμογαστρίων συντεθραμμένον | (265) τοῦ Ἀπόλλωνος, ἐπειδὴ ἡ Λητὼ μέλλουσα γεννᾶν ἐπτοήθη· λέγεται δὲ ὁ Ἕκτωρ φύσει μὲν εἶναι τοῦ Ἀπόλλωνος,

258 *κακὸν* e *κακῶν B* 261 *τάχος, γῆν a τ. τὴν γ. f* 262 *τυπάζουσαν* pro *τοπάζουσαν Bachm.* *τρίχας B*

(254) ἐν τοῖς ὠσί μου ἐκ τῶν ἀκροπόλεων τυποῦται καὶ ὁμοιοῦται (255) τὰς τοῦ ἀέρος . . . . νηνέμους βάσεις (256) τῷ γόῳ τῶν γυναικῶν καὶ ταῖς διαρραγαῖς τῶν πέπλων, (259) ἄλλην ἐπ᾽ ἄλλῃ συμφορὰν προσδεχομένων. (258) ἐκεῖνό σε, ὦ ταλαίπωρε καρδία, τὸ κακόν, (259) τὸ ὑπέρτατον τῶν βλαβῶν πιέσει, (260) ὁπόταν λάβρος γενόμενος ὁ φοβερὸς πολεμιστὴς χάρων Ἀχιλλεὺς (261) τοῖς τροχοῖς τὴν γῆν ὡς ἀετὸς διαχαράσσων (262) τῇ ἐπικαμπεῖ καὶ ἀγκύλῃ βάσει τετυπωμένην αὔλακα, (263) κλάζων τε ἀνόμοιον καὶ παρηλλαγμένην φωνὴν τῷ στόματι φοβερὰν βοὴν (264) τὸν προσφιλέστατόν σου καὶ τῶν ὁμογαστρίων τὸν εὔτροφον (265) ἐκ τοῦ πατρὸς Ἀπόλλωνος τοῦ Πτώου μετάρσιον ἁρπάξας

255 'deest *ἐπιτυγχάνουσα*' *Bachm.* 256 *τῷ γόῳ* pro *τοῦ γόου V* *διαρραγαῖς* pro *διαρπαγαῖς V* 258 *τὸ κακὸν* post *ταλαίπωρε A*, post *ὑπέρτατον 259 V* 259 '*πιέσει* sive quod malim *λυπήσει*' pro *ποιήσει Bachm.* 263 *τε ἀνόμοιον* pro *πανόμοιον V*

ὄνυξι γαμφηλαῖσί θ' αἱμάσσων δέμας,
ἔγχωρα τίφη καὶ πέδον χραίνῃ φόνῳ,
λευρᾶς βοώτης γατομῶν δι' αὔλακος.
λαβὼν δὲ ταύρου τοῦ πεφασμένου δάνος,
σκεθρῷ ταλάντῳ τρυτάνης ἠρτισμένον,
αὖθις τὸν ἀντίποινον ἐγχέας ἴσον
Πακτώλιον σταθμοῖσι τηλαυγῆ μύδρον
κρατῆρα Βάκχου δύσεται, κεκλαυσμένος
νύμφαισιν, αἳ φίλαντο Βηφύρου γάνος
Λειβηθρίαν θ' ὕπερθε Πιμπλείας σκοπήν,
ὁ νεκροπέρνας, ὃς προδειμαίνων πότμον

266 *γαμφηλαῖσί* editor *γαμφηλῆσί ACDE γαμφιλῆσί B* *αἱμάσσων* (ξας) *C²* 267 *πέδον* (ων) *A παίδων BP* *χραίνῃ φόνῳ* om. *B* 268 *δι' αὔλακος* om. *B* 270 *ι* in *ἠρτισμένον* mutavit in *υ B ἠρτημένον CDEΠΤ* 271 *αὖθις* (ξ) *C² αὖτις AB* *ἐγχέας BΠ ἐκχέας ACDE* 274 *νύμφαισιν, αἳ φίλαντο* om. *B* 274 *γρ. Βοφύρου* marg. *B* an *Βαφύρου?* 275 *Λειβηθρίαν* editor *λειβηθρίην ABCD λειβηθρίης E*

θέσει δὲ Πριάμου | ἁρπάσας μετέωρον | (266) καὶ ὄνυξιν ἐπικαμπέσιν | αἱμάσσων τὸ σῶμα (267) ἐπιχώρια τῆς Τροίας | δάση, ἕλη, ἄλση. καὶ παίδων καὶ τῶν τέκνων | (268) πλατείας, ὁμαλῆς ὁ βοηλάτης | ἀροτριῶν τὴν γῆν, τέμνων | (269) τοῦ Ἕκτορος τοῦ ἀνῃρημένου δῶρον | (270) ἀκριβεῖ ζυγῷ | σταθμης, βελόνης κρεμασμένον | (271) πάλιν | τὸν ἀντίδοτον χρυσὸν ἐγχέας ἐξ ἴσου | (272) τὸν χρυσόν, διὰ τὸ τὸν Πακτωλὸν ποταμὸν ψήγματα χρυσοῦ ἔχειν καὶ καταφέρειν ἐπαύλοις φαιδρόν· μύδρον δὲ κυρίως τὸν πεπυρακτωμένον σίδηρον | (273) ἀμφιφορέα τοῦ Διονύσου, ἐπεὶ ὁ Διόνυσος ἔδωκε τῇ Θέτιδι ἀμφιφορέα | ὑπεισελθῃ τεθρηνημένος | (274) τὸν Βήφυρον ποταμόν | (275) καὶ τὴν Λειβηθρίην· ἔστι δὲ ὄρος | ὑπεράνωθεν κρήνης καὶ ποταμοῦ Μακεδονίας· [εἶναι] τὴν ἄποψιν | (276) ὁ τοὺς νεκροὺς πωλῶν Ἀχιλλεύς, διὰ τὸν Ἕκτορα | ὅστις φοβούμενος θάνατον |

267 *τῶν τέκνων μιαίνῃ τῶν (τῷ f) ἐκ τῶν φόνων αἵματι a f* 268 *τέμνων διὰ τῆς γῆς a f* 269 leg. *κεκρεμασμένον* 272 *ἐπαύλαις B* 274 *ταῖς νύμφαις, αἵτινες ἠγάπων τὸν β. π. a f* 275 *εἶναι* inclusi

(266) τοῖς ὄνυξι καὶ τοῖς ἐπικαμπέσι χείλεσι τὸ σῶμα καθαιμάσσων καὶ κατεσθίων, (267) τὰ ἔγχωρα ἕλη καὶ τὸ ἔδαφος τῷ φόνῳ μιαίνῃ, (268) διὰ τῆς ὁμαλῆς γῆς ὁ βοηλάτης καὶ ἀροτριεὺς τέμνων τὴν αὔλακα. (269) λαβὼν δὲ τοῦ ἀποκτανθέντος ταύρου Ἕκτορος τὸ δῶρον (270) ἀκριβεῖ ζυγῷ τῆς τρυτάνης ἐπῃρμένον καὶ μετεωρισμένον (271) πάλιν τὸν ἀντίδοτον ἴσον ἐγχέας (272) τοῖς σταθμοῖς τὸν τοῦ Πακτωλοῦ ποταμοῦ λαμπρὸν χρυσόν (273) τὸν κρατῆρα τοῦ Διονύσου ὑποδύσεται κεκλαυσμένος (274) ταῖς Νύμφαις, αἵτινες ἠσπάσαντο τοῦ Βηφύρου ποταμοῦ τὸ ὕδωρ (275) καὶ τὴν Λειβηθρίαν ἐξοχὴν καὶ ἀκρώρειαν [καὶ] τὴν ὑπεράνωθεν τῆς Πιμπλείας πόλεως, (276) ὁ νεκροπεράτης καὶ νεκροπόλος, ὅστις προφοβούμενος τὸν θάνατον

267 *μιαίνῃ* pro *μιαίνει V* 275 *καὶ* inclusi 276 corrige *νεκροπώλης' Bachm.*

καὶ θῆλυν ἀμφὶ σῶμα τλήσεται πέπλον
δῦναι, παρ' ἱστοῖς κερκίδος ψαύσας κρότων,
καὶ λοῖσθος εἰς γῆν δυςμενῶν ῥῖψαι πόδα,
τὸ σόν, ξύναιμε, κἂν ὕπνῳ πτήσσων δόρυ.
Ὦ δαῖμον, οἷον κίον' ᾀστώσεις δόμων
ἔρεισμα πάτρας δυςτυχοῦς ὑποσπάσας·
οὐ μὴν ἀνατεί γ' οὐδ' ἄνις μόχθων πικρῶν
πένθους θ' ὁ ληστὴς Δωριεὺς γελᾷ στρατός,
ἐπεγκαχάζων τοῦ δεδουπότος μόρῳ,
ἀλλ' ἀμφὶ πρύμναις τὴν πανυστάτην δραμὼν
πεύκαις βίου βαλβῖδα συμφλεχθήσεται,
καλῶν ἐπευχαῖς πλεῖστα Φύξιον Δία
πορθουμένοισι κῆρας ἀρκέσαι πικράς.
τότ' οὔτε τάφρος οὔτε ναυλόχων σταθμῶν

279 *λοῖσθον C* *ἐς ΑΒΕ* *ῥίψαι V* 281 *αἰστώσεις V* *ἄνευ V* 285 *ἐπεγκαγχάζων BC ἐπεκαγχάζων D ἐπικαγχάζων E* 288 *ἐπ' εὐχαῖς V*

---

(277) καὶ ὡς γυνὴ περὶ τὸ σῶμα | καρτερήσει φορῶν ἱμάτιον γυναικεῖον | (278) ὑπεισελθεῖν παρὰ τοῖς ἱσταρίοις· ὅτι λαθεῖν θέλων ὁ Ἀχιλλεὺς ὕφαινεν μετὰ τῶν γυναικῶν | τῆς κερκίδος ἀψάμενος | τῶν κρουμάτων (279) καὶ ἔσχατος | εἰς τὴν γῆν τῶν Τρώων. ἀντὶ ⟨τοῦ⟩ βαδίσαι | (280) τὸ σόν, ὦ Ἕκτωρ ἄδελφε, καὶ ἐν τοῖς ὕπνοις φοβούμενος δόρυ | (281) [Ὦ Ἕκτωρ ἄδελφε] ὁποῖον. Ἕκτορα, διὰ τὴν ἰσχύν | ἀφανίσεις οἴκων | (282) ἐπιστήριγμα τῆς ἀτυχοῦς πατρίδος | ἀφελόμενος | (283) οὐδαμῶς γε ἄνευ βλάβης | οὐδὲ χωρὶς πικρῶν καμάτων | (284) καὶ τοῦ πένθους οἱ Ἕλληνες | (285) ἐπεγγελῶν τοῦ Ἕκτορος τῷ θανάτῳ | (286) ἀλλὰ περὶ ταῖς ναυσὶ τὴν ἐσχάτην δραμών | (287) ταῖς ναυσί. βαλβῖδα δὲ τὴν βιωτήν | συγκαυθήσεται | (288) καλῶν ἐν ταῖς προσευχαῖς πολλά | τὸν φυγῆς αἴτιον γενόμενον τοῖς Ἕλλησι Δία | (289) πολιορκουμένοις | Μοίρας ἀποτρέψαι τὰς δεινάς | (290) τότε οὐδαμῶς ὁ διόρυγος | οὔτε τῶν λιμένων καὶ στάσεων |

279 *τοῦ* add. *Bachm.* 280 *ὦ Ἕ. ἄ.* inclusi 286 *τῶν* pro *ταῖς B* 287 *βιωτὴν* cf. *314*

(277) καὶ γυναικεῖον περὶ τὸ σῶμα ἱμάτιον καρτερήσει (278) ἐνδύσασθαι, παρὰ τοῖς ἱστοῖς τῆς κερκίδος ἀψάμενος τῶν κρότων (279) καὶ ἔσχατος εἰς τὴν γῆν τῶν πολεμίων τὸν πόδα ῥίψαι, (280) τὸ σόν, ὦ ἄδελφε Ἕκτορ, καὶ ἐν τῷ ὕπνῳ δόρυ φοβούμενος. (281) ὦ δύσδαιμον Ἀχιλλεῦ, ὁποῖον κίονα ἀφανίσεις τῶν οἴκων, (282) τὸ ἔρεισμα καὶ στήριγμα τῆς δυστυχοῦς καὶ ἀτυχοῦς πατρίδος ὑποσπάσας καὶ ἀποστερήσας. (283) οὐ μὴν ἄνευ βλάβης καὶ τιμωρίας οὐδὲ χωρὶς πόνων καὶ κόπων πικρῶν (284) τοῦ πένθους ὁ Ἕλλην ληστὴς στρατὸς γελᾷ (285) ἐπεγγελῶν καὶ ἐπαγαλλόμενος τῷ θανάτῳ τοῦ πεπτωκότος, (286) ἀλλὰ περὶ ταῖς πρύμναις τὴν ἐσχάτην τοῦ βίου βλάβην δραμὼν ταῖς ναυσὶ συμφλεχθήσεται (288) προσκαλούμενος ἐν ταῖς εὐχαῖς πολλὰ τὸν φυγαδευτικὸν Δία (289) τοῖς πορθουμένοις τὰς πικρὰς καὶ θανατηφόρους μοίρας ἀποστρέψαι. (290) τότε οὔτε ἡ τάφρος οὔτε τῶν λιμένων καὶ τῶν ἐπαύλεων

278 *τῶν κρότων* pro *τὸν κρότον V* 282 *ὑποσπάσας* pro *ἀποσπάσας editor* 286 leg. *βαλβῖδα e P* pro *βλάβην* 288 *φυγαδευτικὸν* pro *φυγαδευτὴν V*

ἀφ᾽ ἑπτὰ παίδων φεψάλῳ σποδουμένων
μόνον φλέγουσαν ἐξαλύξαντα σποδόν.
Χὦ μὲν παλιμπόρευτος ἵξεται τρίβον,
σφῆκας δαφοινοὺς χηραμῶν ἀνειρύσας
ὁποῖα κοῦρος δῶμα κινήσας καπνῷ·
οἱ δ᾽ αὖ προγεννήτειραν οὐλαμωνύμου
βύκταισι χερνίψαντες ὠμησταὶ πόριν,
τοῦ Σκυρίου δράκοντος εὔτοκον λεχώ,
ἣν ὁ ξύνευνος Σαλμυδησίας ἁλὸς
ἐντὸς ματεύων, Ἑλλάδος καρατόμον,

179 *μοῦνον V* 180 *παλιμπόρευτος ABΠ* *ἵξεται τρίβον* om. *B* 181 *κελαινοὺς* v. l. in *S* 183 *οὐλαμωνύμου ABDEΠs* *οὐλαδωνύμου* v. l. in *S* *οὐλα*$^{\delta\omega}$*μωνύμου C²* 184 *χερνίψαντες ABΠs* *χερνίψουσι CDET* *πόριν* om. *B* *πό*$^{\tau}$*ριν A²* *πόρριν TCDE* 185 *ἔντοκον V* 186 *σαλμυδισσίας AB* 187 *καρατόμον DEp* *καράτομον B* *καράτόμον AC* (accentum in *α* add. *C²*) *PS*

---

(178) λέγεται γὰρ ἡ Θέτις ἑπτὰ παῖδας ἄρρενας ἐκ Πηλέως ἐσχηκέναι | σποδιᾷ, σπινθῆρι, ἄνθρακι | καιομένων· τοὺς γὰρ ἓξ εἰς πῦρ βάλλουσα ἀνεῖλεν | (179) μόνον τὸν Ἀχιλλέα τὴν καίουσαν | ἐκφυγόντα τὴν καῦσιν |

(180) Καὶ ὁ μὲν Ἀλέξανδρος ὀπισθόρμητος, παλίνοστος ἐπανελθών, ὑποστραφείς | (181) τοὺς Ἕλληνας λέγει | ἄγαν φοινίους φωλεῶν, καταδύσεων ἑλκύσας | (182) ὥσπερ νεώτερος τὸ οἴκημα· καὶ γὰρ ὑπὸ καπνοῦ ταράσσονται αἱ σφῆκες | (183) τὴν Ἰφιγένειαν, ἥτις λέγεται γεννῆσαι τὸν Πύρρον· καὶ γὰρ κατά τινας ὁ Πύρρος ἐκ ταύτης | τοῦ Νεοπτολέμου (184) ἀνέμοις | νῦν σφαγιάσαντες. οἱ ὠμοβόροι, οἱ ὠμὰ τὰ κρέα ἐσθίοντες | (185) τοῦ ἀπὸ τοῦ Σκύρου δράκοντος· λέγει δὲ τὸν Νεοπτόλεμον | τὴν ἐγκύμονα καὶ λελοχευμένην | (186) ἥντινα Ἰφιγένειαν ὁ σύγκοιτος Ἀχιλλεύς | τῆς Σκυθικῆς θαλάσσης· Σαλμυδισὸς γὰρ κόλπος τῆς Σκυθίας | (187) ἔσω ζητῶν τῆς Ἑλλάδος | ἢ τὴν καρατομη-

180 *παλίνοστον f* om. *a* *ἀφίξεται εἰς τὴν ὁδὸν* pro *ἐπανελθών a f* 181 *ἄγαν φοινίους* om. *B* 182 *καπνᾶ B* 184 *ἔσθοντες πόρτιν, δάμαλιν ἢ ἔλαφον a* *ἐσθίοντες δάμαλιν ἢ ἔλαφον f* 185 *τῆς Σκ. Bachm.* 186 *Σαλμυδησὸς Bachm.*

(178) ἀπὸ ἑπτὰ παίδων τεφρουμένων καὶ καιομένων (179) μόνον τὴν φλέγουσαν σποδὸν ἐκδραμόντα καὶ ἐκφυγόντα.

(180) καὶ ὁ μὲν Ἀλέξανδρος παλίνοστος καὶ ἐπιστραφεὶς τὴν τρίβον παραγενήσεται, (181) τοὺς θερμοὺς σφῆκας ἤτοι Ἕλληνας τῶν καταδύσεων ἀνελκύσας (182) καθάπερ νέος κατὰ τὸ δῶμα τῷ καπνῷ κινήσας καὶ ταράξας· (183) οἱ δὲ ὠμοφάγοι Ἕλληνες τὴν πρώτην γεννήσασαν τὸν ἐπώνυμον τοῦ πολέμου Νεοπτόλεμον Ἰφιγένειαν τοῖς ἀνέμοις ὡς δάμαλιν σφαγιάσαντες, (185) τὴν τὸν ἀπὸ Σκύρου δράκοντα τουτέστι Νεοπτόλεμον ἐν γαστρὶ ἔχουσαν καὶ λελοχευμένην, (186) ἥντινα ὁ σύγκοιτος Ἀχιλλεὺς τοῦ Εὐξείνου πόντου (187) ἔσωθε ζητῶν, τὴν τῶν Ἑλλήνων καρατόμον καὶ φονεύτριαν

180 *ὑποστραφεὶς Bachm.* e *P* 185 *τὸν — δράκοντα* pro *τοῦ — δράκοντος V*

δαρὸν φαληριῶσαν οἰκήσει σπίλον
Ἴστρου πρὸς ἐκβολαῖσι λιμναίων ποτῶν,
ποθῶν δάμαρτα, τήν ποτ' ἐν σφαγαῖς κεμὰς
λαιμὸν προθεῖσα φασγάνων ἐκ ῥύσεται —
βαθὺς δ' ἔσω ῥηγμῖνος αὐδηθήσεται
ἔρημος ἐν κρόκαισι νυμφίου δρόμος,
στένοντος ἄτας καὶ κενὴν ναυκληρίαν
καὶ τὴν ἄφαντον εἶδος ἠλλοιωμένην
γραῖαν σφαγείων ἠδὲ χερνίβων πέλας
Ἅιδου τε παφλάζοντος ἐκ βυθῶν φλογὶ
κρατῆρος, ἣν μέλαινα ποιφύξει βροτῶν

189 *Ἴστρου editor Κέλτρου V κέλτου d ἐν τισι βιβλίοις λ έ κ τ ρ ο υ* int. lin. *C*[2] 192 *δ'* om. *A* *αὐδηθήσεται* om. *B* 193 *κρόκῃσι A*

196 *σφαγείων A σφαγίων B* (*ι* ex *ει*) *CD* 198 *ἣν Muell. I 36 ὃν V* *φθιτῶν V*

θεῖσαν ἢ τὴν καρατομοῦσαν, πρὸς διάφορον τόνον | (188) ἐπὶ πολὺν χρόνον. λευκήν· ἔστι δὲ νῆσος· τὴν ἀπὸ πολλῶν πελαργῶν | οἰκήσει τὴν Λευκὴν νῆσον τὴν ἐν Ἴστρῳ τῷ ποταμῷ | (189) ὄνομα λίμνης ἢ ποταμοῦ, ἐξ οὗ ὁ Ἴστρος ἐκδίδωσι | πρὸς ταῖς ἐκβολαῖς τῶν ῥευμάτων | (190) ποθῶν τὴν γυναῖκα Ἰφιγένειαν, ἥντινά ποτε ἐν ταῖς σφαγαῖς | ἡ ἔλαφος (191) τὸν τράχηλον ἢ λαιμὸν προτείνασα | τοῦ ξίφους ἐλευθερώσει | (192) βαθὺς δὲ δρόμος ἔσω τοῦ λιμένος ἢ αἰγιαλὸς μέχρι τῶν ἐρήμων τῆς Σκυθίας Ἀχίλλειος λεχθήσεται | (193) ἠρημωμένος τοῖς αἰγιαλοῖς ὁ Ἀχίλλειος δρόμος | (194) στενάζοντος τὰς βλάβας καὶ ματαίαν πορείαν | (195) καὶ τὴν ἀφανισθεῖσαν ἐπὶ τῷ βωμῷ | μεταμορφωθεῖσαν ὑπὸ Ἀρτέμιδος εἰς γραῦν· ἢ γ ρ α ῖ α ν σ φ α γ ε ί ω ν· ἐν σφαγαῖς γηράσασαν | (196) τὴν γεγηρακυῖαν ἐν ταῖς σφαγίοις ἢ τὴν μεταβληθεῖσαν εἰς γραῖαν, διὰ τὸ μὴ γνωρισθῆναι ὑπὸ Ἑλλήνων | τῶν σφαγίων καὶ τῶν χερνίβων πλησίον | (197) καὶ τοῦ παφλάζοντος Ἅιδου πλησίον ἐκ τῶν βυθῶν τῇ φλογί· κ ρ α τ ῆ ρ α δὲ Ἅ ι δ ο υ λέγει τὸν λέβητα διὰ τὸ εἰς αὐτὸν κατασφάζεσθαι τοὺς ξένους | (198) τοῦ κρατῆρος Ἅιδου

188 [*τὴν*] *ἀπὸ τῶν π. π.* ? an *οἰκουμένην* addendum? 192 *ἐκ* pro *ἔσω B* 193 *ταῖς B*

(188) καὶ ἐπὶ πολὺν χρόνον τὴν λευκὴν νῆσον τὴν καλουμένην Σπῖλον κατοικήσει (189) πρὸς ταῖς ἐκβολαῖς τῶν λιμναίων πομάτων τῆς Κέλτρου λίμνης, (190) ποθῶν τὴν γαμετήν, ἥντινά ποτε ἐν ταῖς σφαγαῖς ἔλαφος (191) τὸν λαιμὸν ἐκτείνασα ἐκ τῶν ξιφῶν ῥύσεται. (192) βαθὺς δὲ ἔσω τοῦ αἰγιαλοῦ ἐρημικὸς ἐν ταῖς ψάμμοις τοῦ νυμφίου ἤτοι τοῦ Ἀχιλλέως δρόμος κληθήσεται καὶ λεχθήσεται, (194) στενάζοντος τὰς βλάβας καὶ τὴν ματαίαν πορείαν τῶν πλοίων (195) καὶ τὴν ἀφανῆ, τὴν τὸ εἶδος ἀλλάξασαν (196) γραῖαν Ἰφιγένειαν ἐγγὺς τῶν σφαγίων καὶ τῶν θυσιῶν (197) καὶ τοῦ παφλάζοντος καὶ βράζοντος κρατῆρος τῇ φλογὶ ἐκ τῶν βυθῶν τοῦ Ἅιδου, ὅντινα ἡ μέλαινα θεὸς ἤτοι Περσεφόνη φυσήσει τῶν νεκρῶν

188 *τὴν Λευκὴν νῆσον* [*τὴν*] *καλουμένην σπῖλον*?

σάρκας λεβητίζουσα δαιταλουργίᾳ.
Χὦ μὲν πατήσει χῶρον αἰάζων Σκύθην,
εἰς πέντε που πλειῶνας ἱμείρων λέχους·
οἱ δ' ἀμφὶ βωμὸν τοῦ προμάντιος Κρόνου,
σὺν μητρὶ τέκνων νηπίων κρεανόμου,
ὅρκων τὸ δευτεροῦχον ἄρσαντες ζυγὸν
στερρὰν ἐνοπλιοῦσιν ὠλέναις πλάτην,
σωτῆρα Βάκχον τῶν πάροιθε πημάτων
Σφάλτην ἀνευάζοντες, ᾧ ποτ' ἐν μυχοῖς
Δελφινίου παρ' ἄντρα Κερδῴου θεοῦ

202 *προμάντ*ιος* (ε erasum) *B* *προμάντεως E* 205 *ἐνοπλιοῦσιν editor* *ἐνοπλίσσουσιν A* *ἐνοπλίσουσιν BCDE* *ἐναπλώσουσιν P*?

πλησίον, ἀπὸ κοινοῦ· λέγει δὲ διὰ τὸ εἰς αὐτὸν τοὺς ξένους κατασφάττεσθαι | ὅντινα κρατῆρα. ἡ Φερσεφόνη ἐστίν. φυσήσει νεκρῶν | (199) τὰς σάρκας εἰς λέβητα βάλλουσα | τῇ μαγειρίᾳ, τῇ ξενοκτονίᾳ |

(200) Καὶ ὁ μὲν Ἀχιλλεὺς ἐνδιατρίψει εἰς τὸν χῶρον | θρηνῶν τὸν Σκύθην | (201) εἰς πέντε χρόνους καὶ ἐνιαυτούς· πλειών δὲ ἡ εὐθεῖα | ἐπιθυμῶν λέχους τῆς Ἰφιγενείας | (202) οἱ δὲ περὶ τὸν βωμόν | τοῦ προμαντευσαμένου αὐτοῖς τὸν δεκαετῆ χρόνον τῆς Ἰλίου πορθήσεως ἐν Αὐλίδι | ἢ τοῦ ἀρχαίου ἢ τοῦ φοβεροῦ· λέγει δὲ τὸν δράκοντα | (203) σὺν τῇ τῶν τέκνων μητέρι. μικρῶν | τοῦ τοὺς νεοσσοὺς τῆς στρουθοῦ καὶ αὐτὴν τὴν στρουθὸν φαγόντος δράκοντος | (204) ἐπειδὴ τὸ πρῶτον ὅρκους ἔδωκαν περὶ τῆς Ἑλένης, νῦν δὲ περὶ τῆς στρατιᾶς, ὅ ἐστι δευτεροῦχον | ἁρμόσαντες τὸν ζυγόν | (205) ἀντὶ τοῦ ἐνοπλίσουσιν ἢ ἐναρμόσουσιν | ταῖς χερσίν εἰρεσίαν, κωπηλασίαν | (206) τὸν Διόνυσον, ὅτι αἴτιος αὐτοῖς ἐγένετο τοῦ μὴ ἀπολέσθαι ἐν Μυσίᾳ | τῶν πρώην βλαβῶν | (207) τὸν σφαλῆναι ποιήσαντα τὸν Τήλεφον | ἀνυμνοῦντες, ᾧτινί ποτε ἐν τοῖς ἐσχάτοις | (208) παρὰ τὰ σπήλαια τοῦ Ἀπόλλωνος· Δελφίνιος δὲ ἐκλήθη, ὅτι ὀχούμενος δελφῖνι ἀπὸ Δήλου εἰς τὴν Πυθὼ . . . . . . | ἐπικερδοῦς θεοῦ |

198 *ἔψει* pro *ἐστίν Bachm.* 200 leg. *Σκυθικόν* 203 *τὰς νεοσσοὺς B* 205 leg. *τὰς χεῖρας εἰρεσίᾳ, κωπηλασίᾳ* 206 *αὐτῷ B* *αὐτοῖς ἐγένετο* om. *a* 207 *ἀναυμνοῦντες a* *ἀναμνοῦντες B* 208 lacunam indicavit *Bachm.*

(199) τὰς σάρκας τῷ λέβητι ἐκκαίουσα τῇ μαγειρίᾳ. (200) καὶ ὁ μὲν Ἀχιλλεὺς πατήσει τόπον Σκυθικὸν στενάζων, (201) εἰς πέντε που ἐνιαυτοὺς ἐπιθυμῶν τῆς κοίτης· (202) οἱ δὲ Ἕλληνες περὶ τὸν βωμὸν τοῦ προμάντεως υἱοῦ τοῦ Κρόνου Διός (203) τοῦ σὺν τῇ μητρὶ [στρουθῶν] τῶν νηπίων τέκνων στρουθῶν κρεανομοῦντος, (204) τὸν δεύτερον ὅρκον καὶ ζυγὸν ποιήσαντες (205) ἰσχυρὰν καθοπλίσουσι ταῖς χερσὶν εἰρεσίαν καὶ κωπηλασίαν, (206) σωτῆρα τὸν Διόνυσον καὶ Βάκχον καὶ Σφάλτην τῶν ἔμπροσθεν κακῶν καὶ κινδύνων ἀνακαλούμενοι, ᾧτινί ποτε τῷ Ταύρῳ Διονύσῳ ⟨ἐν⟩ τοῖς ἐσωτάτοις παρὰ τὰ σπήλαια τοῦ Κερδῴου καὶ Δελφινίου θεοῦ Ἀπόλλωνος μυστικὰς θυσίας τελέσει

202 *περὶ* pro *ἐπὶ editor* 203 *στρουθῶν* inclusi 206 ⟨*ἐν*⟩ add. *Bachm.*

Ταύρῳ κρυφαίας χέρνιβας κατάρξεται
ὁ χιλίαρχος τοῦ πολιρραίστου στρατοῦ.
ᾧ θυμάτων πρόσπαιον ἐκτίνων χάριν
δαίμων Ἐνόρχης Φιγαλεὺς Φαυστήριος
λέοντα θοίνης ἴχνος ἐμπλέξας λύγοις
σχήσει τὸ μὴ πρόρριζον ἀστῶσαι στάχυν
κείροντ' ὀδόντι καὶ λαφυστίαις γνάθοις.
Λεύσσω πάλαι δὴ σπεῖραν ὁλκαίων κακῶν,
σύρουσαν ἅλμῃ κἀπιροιζοῦσαν πάτρᾳ
δεινὰς ἀπειλὰς καὶ πυριφλέκτους βλάβας.

209 *κατάρξεται* om. *B* 210 *πολυρραίστου D πολυραίστου E πτολιρ-ραίστου AB* (η above ι) 212 *φιγαλεὺς C²T φηγαλεὺς DE* 214 *στάχυν* om. *B* 216 *λεύσσω ABCDp* 217 *πάτρῃ V*

---

(209) τῷ Διονύσῳ | μυστικὰς θυσίας κατάρξεται | (210) ὁ χιλιόναυς, τῷ τελείῳ ἀριθμῷ | τοῦ τὰς πόλεις φθείροντος | (211) ᾧτινι Ἀγαμέμνονι πρόσφατον· τοῦτο γὰρ δηλοῖ τὸ π ρ ό σ π α ι ο ν | ἀντιπαρέχων | (212) ὁ Διόνυσος, ὅτι μετὰ ὀρχήσεων αὐτοῦ τελεῖται τὰ μυστήρια ὁ Διόνυσος ἐν Φιγαλίᾳ | ὁ Διόνυσος, ὅτι μετὰ λαμπάδων ἄγεται αὐτῷ τὰ μυστήρια | (213) ὡς λέοντα τῆς τροφῆς ἢ εὐωχίας· λείπει δὲ τὸ ὡς· καὶ λέγει τὸν Τήλεφον | τὸν πόδα ἐμπλακεὶς κλήμασι, κλάδοις φυτοῦ | (214) ἐμποδίσει ἐκ ῥιζῶν | ἀφανίσαι στάχυν· λείπει τὸ ὡς, ἵν' ᾖ ὡς στάχυν | (215) κόπτοντα τῷ ὀδόντι | λαφυσσούσαις, δαπανητικαῖς. στόμασι |

(216) Περὶ τοῦ πλοῦ λέγει τοῦ εἰς Τροίαν τῶν Ἑλλήνων | συναγωγὴν, ἥτις συνίσταται ἐξ ἑκατὸν ἀνδρῶν, φησὶ τὸ εὐαγγέλιον. ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος . . . . . | τῶν πλοίων, παρὰ τὸ ἕλκεσθαι | (217) σύρουσαν τῇ θαλάσσῃ | καὶ ἀπειλοῦσαν, λέγει δὲ ἐμπρησμόν | (218) φοβερὰς ἀπειλὰς τὰς διὰ πυρός |

215 *δαπανιστικαῖς B ἀφανιστικαῖς Bachm.* 216 | *ὁρῶ δὴ πάλαι συναγωγὴν a* lacunam indicavit *Bachm.* excidit *ἀπηρτισμένως εἴρηται* vel *κατὰ τέλειον ἀριθμόν* cf. 210 217 *ἀπειλοῦσαν, θροοῦσαν a ἐμπρησμόν Bachm. ἐμπρισμόν B ἐκ πρισμοῦ f περὶ ἐμπρησμοῦ a*

(210) ὁ τῶν χιλιάδων ἄρχων τοῦ τὰς πόλεις πορθοῦντος στρατοῦ Ἀγαμέμνων. (211) ᾧτινι τῶν θυμάτων τὸ πρόσφατον ἀποτινύων καὶ ἀνταμειβόμενος τὴν χάριν (212) ὁ Ἐνόρχης, Φιγαλεὺς καὶ Φαυστήριος θεὸς Διόνυσος (213) τὸν λέοντα ἤγουν τὸν Τήλεφον τῆς σφαγῆς καθέξει καὶ κωλύσει τὸ ἴχνος ἤτοι τὸν πόδα τοῖς κλάδοις ἀμπέλου ἐμπλέξας τὸ μὴ ἐκ ῥιζῶν ἀφανίσαι τοὺς Ἕλληνας ὡς στάχυν (215) τέμνοντα τῷ ὀδόντι καὶ ταῖς δαπανητικαῖς σιαγόσιν.

Λ ε ύ σ ω π ά λ α ι δ ὴ σ π ε ῖ ρ α ν ὁ λ κ α ί ω ν κ α κ ῶ ν· (216) βλέψω πάλαι δὴ συναγωγὴν ὁλκάδων καὶ πλοίων κακῶν (217) συρομένων τῇ ἅλμῃ καὶ ἀπειλοῦσαν καὶ θροοῦσαν τῇ πατρίδι (218) φοβερὰς ἀπειλὰς καὶ ἐκ πυρὸς ἀναπεφλεγμένας βλάβας.

215 *τέμνοντα* pro *τέμνοντος editor*

ὡς μή σε Κάδμος ὤφελ' ἐν περιρρύτῳ
Ἴσσῃ φυτεῦσαι δυσμενῶν ποδηγέτην,
τέταρτον ἐξ Ἄτλαντος ἀθλίου σπόρον,
τῶν αὐθομαίμων συγκατασκάπτην Πρύλιν,
τόμουρε πρὸς τὰ λῷστα ναμερτέστατε·
μηδ' Αἰσακείων οὑμὸς ὤφελεν πατὴρ
χρησμῶν ἀπῶσαι νυκτίφοιτα δείματα,
μιᾷ δὲ κρύψαι τοὺς διπλοῦς ὑπὲρ πάτρας
μοίρᾳ τεφρώσας γυῖα Λημναίῳ πυρί·
οὐκ ἂν τοσῶνδε κῦμ' ἐπέκλυζεν κακῶν.
Καὶ δὴ Παλαίμων δέρκεται βρεφοκτόνος
ζέουσαν αἰθυίαισι πλεκτανοστόλοις

219 *ὤφελλ'* *B* *ὤφειλ'έ* (ν superscr.) *περιρρύτῳ* *C²* (apostrophum et alterum spiritum lenem addidit, *ν* superscripsit *C²*) 223 *νημερτέστατε* *V* 224 *οὑμὸς ὤφελεν πατὴρ* om. *B* *ὤφελε* *DE* *ὤφελε* (ει superscr.) *C²* cf. *T* 226 *ὑπὲρ πάτρας* om. *B* 228 *ἐπέκλυζεν* editor *ἐπέκλυσεν* *A* *ἐπέκλυσε* *BCE* *ἀπέκλυσε* *D* 230 *αἰθυίαισι* editor *αἰθυίησι* *CDE* *αἰθύῃσι* *A* *αἰθύῃσιν* *B* *πλεκτανοστύλοις* *C* *γρ. πλεκτανοστόλοις* marg. *C²*

(219) ὅπως μή σε ὁ Ἑρμῆς, ἀντὶ τοῦ Καδμῖλος· τούτου δὲ υἱὸς ἐγένετο Πρύλις | ὤφελεν ἐν τῇ περιρρύτῳ νήσῳ Λέσβῳ | (220) νῆσός ἐστιν, ἡ νῦν λεγομένη Λέσβος | γεννῆσαι τῶν Ἑλλήνων ὁδηγόν | (221) τέταρτον ἐκ τοῦ Ἄτλαντος | ταλαιπώρου υἱόν | (222) τῶν συγγενῶν | συμπορθητήν, υἱὸν τοῦ Ἑρμοῦ | (223) μάντι, προφῆτα, πρὸς τὰ βέλτιστα | ἀληθέστατε, Πρύλι | (224) τῶν τοῦ Αἰσάκου· οὗτος δέ ἐστιν υἱὸς Πριάμου, μάντις | (225) τῶν χρησμῶν ἀπωθῆσαι νυκτερινὰ φόβητρα | (226) μιᾷ μοίρᾳ, ἐνὶ θανάτῳ κρύψαι τόν τε Πάριν καὶ τὴν Ἑκάβην | (227) καύσας τῇ μοίρᾳ μέλη | τῷ σφοδρῷ πυρί, παρὰ τὸ ἐν Λήμνῳ πυρίον τοῦ Ἡφαίστου | (228) οὐκ ἂν τοσούτων τὸ κῦμα κατεπόντισε κακῶν |

(229) Ὁ Μελικέρτης, ὁ μάντις, τῆς Ἰνοῦς ὁ υἱός, βλέπεται | ἐπειδὴ κατά τινα χρησμὸν ἐπὶ τοῦ βωμοῦ αὐτοῦ βρέφη ἐθυσίαζον | (230) εἶδος ὀρνέου, λέγει δὲ νῦν τὰ πλοῖα | πολυκώποις, ἐκ μεταφορᾶς τῶν τοῦ πολύποδος πλεκτανῶν |

224 *μάντις. ὁ ἐμὸς ὤφελε πατήρ a μ. ὁ ἐ. ὤφειλεν π. f* 226 *Ἑκάβην τῆς πατρίδος a Ἑ. ὑπὲρ τ. π. f*
227 *ἡφαίστου. τὰς καμίνους a*

(219) ὡς ὤφελέ σε μηδαμῶς ὁ Ἑρμῆς τὸν Πρύλιν ἐν τῇ περιρρεομένῃ νήσῳ τῇ Ἴσσῃ γεννῆσαι τῶν πολεμίων Ἑλλήνων ὁδηγόν, τῶν ἀδελφῶν συμπορθητήν, τὸν τέταρτον σπόρον ἐκ τοῦ ἀθλίου Ἄτλαντος, (223) ὦ μάντι πρὸς τὰ μέγιστα ἀληθέστατε· (224) μὴ δὲ τῶν τοῦ Αἰσάκου ὤφελεν ὁ ἐμὸς πατὴρ (225) τῶν χρησμῶν καὶ τὰ ἐκ τῇ νυκτὶ φάσματα ἀποπέμψασθαι, (226) μιᾷ δὲ μοίρᾳ ἤτοι ἑνὶ θανάτῳ τοὺς δύο ὑπὲρ τῆς πατρίδος ἀφανίσαι καύσας καὶ αἰθαλώσας τὰ μέλη τῷ Λημναίῳ πυρί· (228) οὐκ ἂν τοσούτων κακῶν κῦμα ἐπέκλυσε καὶ ἐπεκάλυψε. (229) καὶ δὴ ὁ βρεφοκτόνος Παλαίμων βλέπει (230) τὴν παλαιὰν σύγκοιτον καὶ τοῦ Ὠκεανοῦ τροφὸν θάλλουσαν καὶ βράζουσαν ταῖς πολύποσι καὶ πολυκώποις· ἐκ μεταφορᾶς τῶν πολύποδος πλεκτανῶν·

230 *θάλπουσαν?*

γραῖαν ξύνευνον Ὠγένου Τιτανίδα.
Καὶ δὴ διπλᾶ σὺν πατρὶ ῥαίεται τέκνα,
στερρῷ τυπέντι κλεῖδας εὐάρχῳ μύλῳ,
τὰ πρόσθεν αὐλητῆρος ἐκπεφευγότα
ψυδραῖσι φήμαις λαρνακοφθόρους ῥιφάς,
ᾧ δὴ πιθήσας στυγνὸς ἄρταμος τέκνων,
αἰθυιόθρεπτος πορκέων λιναγρέτης
κρηθμοῖσι καὶ ῥαιβοῖσι νηρίταις φίλος,
χηλῷ κατεδρύφαξε διπτύχους γονάς.
σὺν τοῖς δ' ὁ τλήμων, μητρὸς οὐ φράσας θεᾶς
μνήμων ἐφετμάς, ἀλλὰ ληθάργῳ σφαλείς,

231 *σύνευνον CD* *Τιτανίδα editor τιτηνίδα ACDE τητινίδα B* 232 *ῥαίνεται B* 233 *τυπέντι Scal.* ap. *Meurs. τυπέντα V* *εὐάρχῳ Eust. εὐάρχου V* 235 *λαρνακοφθόρους AB* cf. *P λαρνακοφόρους DEp λαρνακοφόρους* (θ supra) *TC*[2] 236 *ᾧ δὴ πιθήσας* om. *B* 237 *αἰθυόθρεπτος ABCE* 238 *νειρίταις CDE*

(231) τὴν ὁμόζυγον γραῖαν, τὴν θάλασσαν· ξύνευνον δὲ τοῦ Ὠκεανοῦ τὴν Τηθύν | τοῦ Ὠκεανοῦ· οὕτω γὰρ πάλαι ἐκαλεῖτο | τὴν Τηθύν· λέγει δὲ τὴν θάλασσαν |
(232) Καὶ δὴ σὺν τῷ πατρὶ δύο φθείρεται τέκνα | (233) τῷ ἰσχυρῷ πληγέντα μεταξὺ τῶν ὤμων | τῷ λίθῳ τοῦ εὐάρχου Ἀχιλλέως | (234) τὰ πρότερον τοῦ αὐλητῆρος ἐκφυγόντα | (235) ἐψευσμέναις λοιδορίαις | ἐν λάρνακι ἐφθαρμένους· λέγει δὲ τοὺς παῖδας τοῦ Κύκνου Τέννην καὶ Ἡμιθέαν | ῥίψεις | (236) ὁ φοβερὸς φονεύς, παρὰ τὸ·
στυγέει δὲ καὶ ἄλλους
ὁ Κύκνος | (237) ὁ σὺν ταῖς αἰθύαις τεθραμμένος | ἁλιέων | ὁ ὑπὸ τῶν . . . ἰχθύων ἀγρευθείς | (238) λάχανον ἄγριον, ἢ ὀστρέοις | κοχλίαις ἢ καμπύλοις | κόγχαις | προσδιέτριβε γὰρ μετὰ τῶν ἁλιέων | (239) κιβωτῷ, λάρνακι κατησφαλίσατο, κατέκλεισεν | τοὺς δύο υἱοὺς Τέννην καὶ Ἡμιθέαν | (240) σὺν τούτοις δ' ὁ ταλαίπωρος | τῆς Θέτιδος | (241) ὁ Μνήμων, ὄνομα κύριον, τὰς ἐντολὰς τῆς Θέτιδος | ἀλλὰ τῇ λήθῃ ἀποσφαλείς, ἁμαρτήσας |

233 *πληγέντων B* 236 *A 186* 237 *αἰθυίαις Bachm.* post *τῶν* lacunam indicavi: intercidisse videntur *ἁλιέων ἐν λίνοις δίκην* cf. *s* *δικτύων* pro *ἰχθύων a f*

(231) γραῖαν ξύνευνον λέγει τὴν Τηθὺν τοῦ Ὠκεανοῦ· ἡ αὐτὴ δέ ἐστι τῇ θαλάσσῃ· Ὠγένου δὲ τοῦ Ὠκεανοῦ· οὕτω γὰρ ἐκαλεῖτο πρότερον. (232) καὶ δὴ δισσὰ σὺν τῷ πατρὶ ἀναιρεῖται τέκνα, (233) ἰσχυρῷ πληγέντα κατὰ τὰς κλεῖδας λίθῳ τοῦ καλῶς ἄρχοντος Ἀχιλλέως, (234) τὰ ἔμπροσθεν διαφυγόντα ταῖς ψευδέσι φήμαις τοῦ αὐλητοῦ Μόλπου σὺν τῷ λάρνακι ῥιφάς, (236) ᾧτινι δὴ Μόλπῳ πιστεύσας ὁ φοβερὸς φονεὺς τῶν τέκνων Κύκνος, (237) ὑπὸ τῶν αἰθυιῶν τεθραμμένος, ὁ ὑπὸ ἁλιέων τοῖς δικτύοις ἀγρευθείς, (238) ὁ τοῖς ὀστρέοις καὶ τοῖς κοχλίαις τοῖς θαλασσίοις φίλος, (239) τῇ κιβώτῳ καὶ τῇ λάρνακι κατέκλεισε τὰ δύο τέκνα. (240) σὺν τούτοις δὲ ὁ ταλαίπωρος Μνήμων τῆς μητρὸς θεᾶς Θέτιδος οὐκ εἰπὼν τὰς ἐντολάς, ἀλλὰ τῇ λήθῃ ἀποσφαλείς,

233 *καλῶς* pro *καλοῦ V*

πρηνὴς θανεῖται στέρνον οὐτασθεὶς ξίφει.
Καὶ δὴ στένει Μύρινα καὶ παράκτιοι
ἵππων φριμαγμὸν ἠόνες δεδεγμέναι,
ὅταν Πελασγὸν ἅλμα λαιψηροῦ ποδὸς
εἰς θῖν᾽ ἐρείσας λοίσθιον αἴθων λύκος
κρηναῖον ἐξ ἄμμοιο ῥοιβδήσῃ γάνος,
πηγὰς ἀνοίξας τὰς πάλαι κεκρυμμένας.
Καὶ δὴ καταίθει γαῖαν ὀρχηστὴς Ἄρης,
στρόμβῳ τὸν ἁρμάτειον ἐξάρχων νόμον,
ἅπασα δὲ χθὼν προὐμμάτων δῃουμένη
κεῖται, πέφρικαν δ᾽ ὥστε λήιον γύαι

242 *στέρνων*[ον] *C²* supra *ον* aliquid quod non extrico *οὐτα•θεὶς C* supra *οὐτηθεὶς C² οὐταθεὶς BE* 243 *μύριννα CD* 244 *φρυμαγμὸν Lob. Rhem.* 241, 1 246 *λοισθίον*[ον] *A²* (*ιο* radendo ex *ια* factum, *λοισθίαν*[ο] *V*, *α* adrasum) quae v. l. e *p* hausta est, sed *λοίσθιον* explicare videtur *s λοισθίαν BCDEP* 247 *ἄμοιο D* cf. *T* *ῥοιβδήσει BDE* 250 *Ἁρμάτειον M. Schmidt Mus. Rh.* XXVI 222 *αἱματηρὸν ACDE αἱματῆρ᾽ B* 252 *κεῖται* om. *B* *ληίου V* *γύαι Meurs. γυίαι AC* (´ in ˜ mutavit *C²*) *γυῖαι BDE*

(242) ἐπὶ στόμα ἀποθανεῖται | τὸ στῆθος τρωθεὶς τῷ ξίφει |
(243) Καὶ δὴ στενάζει. μία τῶν Ἀμαζόνων, ἀφ᾽ ἧς τόπος ἐν Τροίᾳ | καὶ οἱ παρὰ τὴν ὄχθην | (244) τῶν ἵππων τὸν χρεμετισμόν | αἰγιαλοί. δεξάμεναι | (245) ὁπόταν τὸ Θεσσαλὸν πήδημα· λέγει δὲ Ἀχιλλέως | τοῦ ταχέος ποδὸς | (246) εἰς αἰγιαλὸν ἐπιστηρίσας | ἐσχάτην διάπυρος καὶ θερμός. λέγει δὲ Ἀχιλλέα | (247) πηγαῖον ἐκ τῆς ἄμμου | ἀναδώσει, ἀνακολάψει. τὸ ὕδωρ, ἐφ᾽ ᾧ τις γάνυται | (248) τὰς πηγὰς ἐκφράξας | τὰς πρὶν ἠφανισμένας |
(249) Καὶ κατακαίει δὴ τὴν γῆν | ἐπειδὴ οἱ εἰς πόλεμον ἐξερχόμενοι ἐπετήδευον μέλη τινὰ παροξυντικὰ τοῦ πολεμεῖν πρὸς τὸ παροξῦναι τοὺς ἀκούοντας καὶ εἰς ἀνδρείαν κινῆσαι | (250) κόχλῳ ἤγουν σάλπιγγι· οἱ γὰρ παλαιοὶ πυρφόροις ἀντὶ σαλπίγγων ἐχρῶντο | τὸν αἵμασι χρώμενον ἡγούμενος θεσμόν | (251) ἅπασα δὲ γῆ προὐφθαλμῶν | καιομένη | (252) πεφρίκασι δ᾽ ὥσπερ | σιτοφόρου χωρίου πλέθρα |

246 *διάπυρος καὶ θερμός* pro *διάπυρον καὶ θερμὸν Bachm.* 250 leg. *πορφύραις* leg. *κεχρωσμένον θεσμός B* 251 *ἡ γῆ a f*

(242) ἐπὶ πρόσωπον πεσὼν ἀποθανεῖται, κατὰ τὸ στῆθος πληγεὶς ξίφει. (243) καὶ δὴ στενάζει καὶ στενοχωρεῖται ἡ Μύρινα καὶ αἱ ὄχθαι, (244) τῶν ἵππων τὸν χρεμετισμὸν οἱ αἰγιαλοὶ προσδεχόμενοι, (245) ὁπόταν τὸ Θεσσαλικὸν πήδημα τοῦ ταχέος ποδὸς (246) εἰς τὸν αἰγιαλὸν στηρίξας τὸ ἔσχατον καὶ τελευταῖον ὁ θερμὸς λύκος Ἀχιλλεὺς (247) πηγαῖον ἐκ [τοῦ] τῆς ἄμμου ἀναδώσῃ ὕδωρ, (248) τὰς πηγὰς τὰς πάλαι κεκρυμμένας ἀνοίξας. (249) καὶ δὴ κατακαίει τὴν γῆν ὀρχηστὴς πόλεμος (250) τῷ κόχλῳ ἤγουν τῇ σάλπιγγι τὸν πολέμιον νόμον ἠχῶν καὶ κτυπῶν, (251) ἅπασα δὲ ἡ γῆ πρὸ τῶν ὀμμάτων καὶ τῶν ὀφθαλμῶν πορθουμένη καὶ αἰχμαλωτιζομένη (252) πρόκειται, πεφρίκασι δὲ ταῖς λόγχαις καὶ τοῖς ξίφεσι ἀποστίλβοντες οἱ Ἕλληνες καθάπερ σιτοφόρου χώρου, πεδίου πλέθρα ἤτοι μέτρα. ἡ οἰμωγὴ δὲ καὶ ἡ βοὴ

246 *τὸν ἔσχατον* — ?

λόγχαις ἀποστίλβοντες, οἰμωγὴ δέ μοι
ἐν ὠσὶ πύργων ἐξ ἄκρων ἰνδάλλεται,
πρὸς αἰθέρος κυροῦσα νηνέμους ἕδρας,
γόῳ γυναικῶν καὶ καταρραγαῖς πέπλων,
ἄλλην ἐπ᾽ ἄλλῃ συμφορὰν δεδεγμένων.
Ἐκεῖνό σ᾽, ὦ τάλαινα καρδία, κακόν,
ἐκεῖνο δάψει πημάτων ὑπέρτατον,
εὖτ᾽ ἂν λαβράζων περκνὸς αἰχμητὴς χάρων
πτεροῖσι χέρσον αἰετὸς διαγράφων
ῥαιβοῖ τυπωτὴν τόρμαν ἀγκύλῃ βάσει,
κλάζων τ᾽ ἄμικτον στόματι ῥιγίστην βοήν,
τὸν φίλτατόν σου τῶν ἀγαστόρων τρόφιν
Πτῴου τε πατρὸς ἁρπάσας μετάρσιον,

255 *κ^{ι}υ^{ν}ροῦσα C*² *κύρουσα GHerm. V 238* 258 *κακ^{ω}ὸν A* cf. *p 259* 261 *χέρσον* om. *B* 262 *ῥαιβῷ v* post 262 Scaligeri monitu editores post Meursium omnes praeter Bachmannum v. 268 inseruerunt 265 *πτώου BCDE*

---

(253) τοῖς δόρασι λάμποντες | θρῆνος δέ μοι | (254) ἐν τοῖς ὠσὶ τῶν πύργων ἐκ τῶν ἄκρων ὁμοιοῦται | (255) πρὸς τοῦ ἀέρος ἐπιτυγχάνουσα | τὰς ἀνηνέμους βάσεις | (256) θρήνῳ γυναικῶν | καὶ σχίσεσι τῶν ἱματίων | (257) ἄλλην ἐπ᾽ ἄλλῃ συμφορὰν δεδεγμένων |

(258) Ἐκεῖνό σ᾽, ὦ ταλαίπωρε ψυχή, κακόν | (259) ἐκεῖνο λυπήσει βλαβῶν ἐξοχώτατον | (260) ὁπόταν λάβρος γενόμενος | ταχύς· ἔστι δὲ εἶδος ἀετοῦ | ὁ πολεμιστὴς χάρων, ὁ αἰχμητής | (261) τοῖς τροχοῖς, διὰ τὸ τάχος· ἐπιμένει δὲ τῇ ἀλληγορίᾳ | ὁ Ἀχιλλεὺς διαχαράσσων | (262) τῷ ἀγκύλῳ· τοπάζουσαν τὰς τροχιὰς ἐν τῇ γῇ | τὸ στάδιον | ἐπικαμπεῖ βάσει | (263) καὶ κράζων ἀμιγές· ἰδίαν γὰρ φωνὴν ἔχει ὁ ἀετός | τῷ στόματι φρικτὴν κλαγγήν | (264) τὸν προσφιλῆ σου τῶν ὁμογαστρίων συντεθραμμένον | (265) τοῦ Ἀπόλλωνος, ἐπειδὴ ἡ Λητὼ μέλλουσα γεννᾶν ἐπτοήθη· λέγεται δὲ ὁ Ἕκτωρ φύσει μὲν εἶναι τοῦ Ἀπόλλωνος,

258 *κακὸν* e *κακῶν B* 261 *τάχος, γῆν a τ. τὴν γ. f* 262 *τυπάζουσαν* pro *τοπάζουσαν Bachm.* *τρίχας B*

(254) ἐν τοῖς ὠσί μου ἐκ τῶν ἀκροπόλεων τυποῦται καὶ ὁμοιοῦται (255) τὰς τοῦ ἀέρος . . . . νηνέμους βάσεις (256) τῷ γόῳ τῶν γυναικῶν καὶ ταῖς διαρραγαῖς τῶν πέπλων, (259) ἄλλην ἐπ᾽ ἄλλῃ συμφορὰν προσδεχομένων. (258) ἐκεῖνό σε, ὦ ταλαίπωρε καρδία, τὸ κακόν, (259) τὸ ὑπέρτατον τῶν βλαβῶν πιέσει, (260) ὁπόταν λάβρος γενόμενος ὁ φοβερὸς πολεμιστὴς χάρων Ἀχιλλεὺς (261) τοῖς τροχοῖς τὴν γῆν ὡς ἀετὸς διαχαράσσων (262) τῇ ἐπικαμπεῖ καὶ ἀγκύλῃ βάσει τετυπωμένην αὔλακα, (263) κλάζων τε ἀνόμοιον καὶ παρηλλαγμένην φωνὴν τῷ στόματι φοβερὰν βοὴν (264) τὸν προσφιλέστατόν σου καὶ τῶν ὁμογαστρίων τὸν εὔτροφον (265) ἐκ τοῦ πατρὸς Ἀπόλλωνος τοῦ Πτώου μετάρσιον ἁρπάξας

255 'deest *ἐπιτυγχάνουσα*' *Bachm.* 256 *τῷ γόῳ* pro *τοῦ γόου V* *διαρραγαῖς* pro *διαρπαγαῖς V* 258 *τὸ κακὸν* post *ταλαίπωρε A*, post *ὑπέρτατον 259 V* 259 '*πιέσει* sive quod malim *λυπήσει*' pro *ποιήσει Bachm.* 263 *τε ἀνόμοιον* pro *πανόμοιον V*

ὄνυξι γαμφηλαῖσί θ' αἱμάσσων δέμας,
ἔγχωρα τίφη καὶ πέδον χραίνῃ φόνῳ,
λευρᾶς βοώτης γατομῶν δι' αὔλακος.
λαβὼν δὲ ταύρου τοῦ πεφασμένου δάνος,
σκεθρῷ ταλάντῳ τρυτάνης ἠρτισμένον,
αὖθις τὸν ἀντίποινον ἐγχέας ἴσον
Πακτώλιον σταθμοῖσι τηλαυγῆ μύδρον
κρατῆρα Βάκχου δύσεται, κεκλαυσμένος
νύμφαισιν, αἳ φίλαντο Βηφύρου γάνος
Λειβηθρίαν θ' ὕπερθε Πιμπλείας σκοπήν,
ὁ νεκροπέρνας, ὃς προδειμαίνων πότμον

ξας
266 *γαμφηλαῖσί* editor *γαμφηλῆσί ACDE γαμφιλῆσί B* *αἱμάσσων* C^2
ων
267 *πέδον A παίδων BP* *χραίνῃ φόνῳ* om. *B* 268 *δι' αὔλακος* om. *B* 270 *ι* in *ἠρτισμένον* mutavit in *υ B ἠρτημένον CDEΠT* 271 *αὖθις* C^2 *αὖτις AB* *ἐγχέας BΠ ἐκχέας ACDE* 274 *νύμφαισιν, αἳ φίλαντο* om. *B* 274 *γρ. Βοφύρου* marg. *B* an *Βαφύρου?* 275 *Λειβηθρίαν* editor *λειβηθρίην ABCD λειβηθρίης E*

θέσει δὲ Πριάμου | ἁρπάσας μετέωρον | (266) καὶ ὄνυξιν ἐπικαμπέσιν | αἱμάσσων τὸ σῶμα (267) ἐπιχώρια τῆς Τροίας | δάση, ἕλη, ἄλση. καὶ παίδων καὶ τῶν τέκνων | (268) πλατείας, ὁμαλῆς ὁ βοηλάτης | ἀροτριῶν τὴν γῆν, τέμνων | (269) τοῦ Ἕκτορος τοῦ ἀνῃρημένου δῶρον | (270) ἀκριβεῖ ζυγῷ | στάθμης, βελόνης κρεμασμένον | (271) πάλιν | τὸν ἀντίδοτον χρυσὸν ἐγχέας ἐξ ἴσου | (272) τὸν χρυσόν, διὰ τὸ τὸν Πακτωλὸν ποταμὸν ψήγματα χρυσοῦ ἔχειν καὶ καταφέρειν | ἐπαύλοις φαιδρόν· μύδρον δὲ κυρίως τὸν πεπυρακτωμένον σίδηρον | (273) ἀμφιφορέα τοῦ Διονύσου, ἐπεὶ ὁ Διόνυσος ἔδωκε τῇ Θέτιδι ἀμφιφορέα | ὑπεισελθῇ τεθρηνημένος | (274) τὸν Βήφυρον ποταμόν | (275) καὶ τὴν Λειβηθρίην· ἔστι δὲ ὄρος | ὑπεράνωθεν κρήνης καὶ ποταμοῦ Μακεδονίας· [εἶναι] τὴν ἄποψιν | (276) ὁ τοὺς νεκροὺς πωλῶν Ἀχιλλεύς, διὰ τὸν Ἕκτορα | ὅστις φοβούμενος θάνατον |

267 *τῶν τέκνων μιαίνῃ τῶν (τῷ f) ἐκ τῶν φόνων αἵματι a f* 268 *τέμνων διὰ τῆς γῆς a f* 269 leg. *κεκρεμασμένον* 272 *ἐπαύλαις B* 274 *ταῖς νύμφαις, αἵτινες ἠγάπων τὸν β. π. a f* 275 *εἶναι* inclusi

(266) τοῖς ὄνυξι καὶ τοῖς ἐπικαμπέσι χείλεσι τὸ σῶμα καθαιμάσσων καὶ κατεσθίων, (267) τὰ ἔγχωρα ἕλη καὶ τὸ ἔδαφος τῷ φόνῳ μιαίνῃ, (268) διὰ τῆς ὁμαλῆς γῆς ὁ βοηλάτης καὶ ἀροτριεὺς τέμνων τὴν αὔλακα. (269) λαβὼν δὲ τοῦ ἀποκτανθέντος ταύρου Ἕκτορος τὸ δῶρον (270) ἀκριβεῖ ζυγῷ τῆς τρυτάνης ἐπῃρμένον καὶ μετεωρισμένον (271) πάλιν τὸν ἀντίδοτον ἴσον ἐγχέας (272) τοῖς σταθμοῖς τὸν τοῦ Πακτωλοῦ ποταμοῦ λαμπρὸν χρυσόν (273) τὸν κρατῆρα τοῦ Διονύσου ὑποδύσεται κεκλαυσμένος (274) ταῖς Νύμφαις, αἵτινες ἠσπάσαντο τοῦ Βηφύρου ποταμοῦ τὸ ὕδωρ (275) καὶ τὴν Λειβηθρίαν ἐξοχὴν καὶ ἀκρώρειαν [καὶ] τὴν ὑπεράνωθεν τῆς Πιμπλείας πόλεως, (276) ὁ νεκροπεράτης καὶ νεκροπόλος, ὅστις προφοβούμενος τὸν θάνατον

267 *μιαίνῃ* pro *μιαίνει V* 275 *καὶ* inclusi 276 'corrige *νεκροπώλης*' *Bachm.*

καὶ θῆλυν ἀμφὶ σῶμα τλήσεται πέπλον
δῦναι, παρ' ἱστοῖς κερκίδος ψαύσας κρότων,
καὶ λοῖσθος εἰς γῆν δυςμενῶν ῥῖψαι πόδα,
τὸ σόν, ξύναιμε, κἂν ὕπνῳ πτήσσων δόρυ.
Ὦ δαῖμον, οἷον κίον' ἀστώσεις δόμων
ἔρεισμα πάτρας δυςτυχοῦς ὑποσπάσας·
οὐ μὴν ἀνατεί γ' οὐδ' ἄνις μόχθων πικρῶν
πένθους θ' ὁ ληστὴς Δωριεὺς γελᾷ στρατός,
ἐπεγκαχάζων τοῦ δεδουπότος μόρῳ,
ἀλλ' ἀμφὶ πρύμναις τὴν πανυστάτην δραμὼν
πεύκαις βίου βαλβῖδα συμφλεχθήσεται,
καλῶν ἐπευχαῖς πλεῖστα Φύξιον Δία
πορθουμένοισι κῆρας ἀρκέσαι πικράς.
τότ' οὔτε τάφρος οὔτε ναυλόχων σταθμῶν

279 *λοῖσθον C* *ἐς ABE* *ῥίψαι V* 281 *αἰστώσεις V* *ἄνευ V*
285 *ἐπεγκαγχάζων BC ἐπεκαγχάζων D ἐπικαγχάζων E* 288 *ἐπ' εὐχαῖς V*

---

(277) καὶ ὡς γυνὴ περὶ τὸ σῶμα | καρτερήσει φορῶν ἱμάτιον γυναικεῖον | (278) ὑπεισελθεῖν παρὰ τοῖς ἱσταρίοις· ὅτι λαθεῖν θέλων ὁ Ἀχιλλεὺς ὕφαινεν μετὰ τῶν γυναικῶν | τῆς κερκίδος ἀψάμενος | τῶν κρουμάτων (279) καὶ ἔσχατος | εἰς τὴν γῆν τῶν Τρώων. ἀντὶ ⟨τοῦ⟩ βαδίσαι | (280) τὸ σόν, ὦ Ἕκτωρ ἄδελφε, καὶ ἐν τοῖς ὕπνοις φοβούμενος δόρυ | (281) [Ὦ Ἕκτωρ ἄδελφε] ὁποῖον. Ἕκτορα, διὰ τὴν ἰσχύν | ἀφανίσεις οἴκων | (282) ἐπιστήριγμα τῆς ἀτυχοῦς πατρίδος | ἀφελόμενος | (283) οὐδαμῶς γε ἄνευ βλάβης | οὐδὲ χωρὶς πικρῶν καμάτων | (284) καὶ τοῦ πένθους οἱ Ἕλληνες | (285) ἐπεγγελῶν τοῦ Ἕκτορος τῷ θανάτῳ | (286) ἀλλὰ περὶ ταῖς ναυσὶ τὴν ἐσχάτην δραμών | (287) ταῖς ναυσί. βαλβῖδα δὲ τὴν βιωτήν | συγκαυθήσεται | (288) καλῶν ἐν ταῖς προσευχαῖς πολλά | τὸν φυγῆς αἴτιον γενόμενον τοῖς Ἕλλησι Δία | (289) πολιορκουμένοις | Μοίρας ἀποτρέψαι τὰς δεινάς | (290) τότε οὐδαμῶς ὁ διόρυγος | οὔτε τῶν λιμένων καὶ στάσεων |

279 *τοῦ* add. *Bachm.* 280 *ὦ Ἕ. ἄ.* inclusi 286 *τῶν* pro *ταῖς B* 287 *βιωτὴν* cf. *314*

(277) καὶ γυναικεῖον περὶ τὸ σῶμα ἱμάτιον καρτερήσει (278) ἐνδύσασθαι, παρὰ τοῖς ἱστοῖς τῆς κερκίδος ἀψάμενος τῶν κρότων (279) καὶ ἔσχατος εἰς τὴν γῆν τῶν πολεμίων τὸν πόδα ῥίψαι, (280) τὸ σόν, ὦ ἄδελφε Ἕκτορ, καὶ ἐν τῷ ὕπνῳ δόρυ φοβούμενος. (281) ὦ δύσδαιμον Ἀχιλλεῦ, ὁποῖον κίονα ἀφανίσεις τῶν οἴκων, (282) τὸ ἔρεισμα καὶ στήριγμα τῆς δυστυχοῦς καὶ ἀτυχοῦς πατρίδος ὑποσπάσας καὶ ἀποστερήσας. (283) οὐ μὴν ἄνευ βλάβης καὶ τιμωρίας οὐδὲ χωρὶς πόνων καὶ κόπων πικρῶν (284) τοῦ πένθους ὁ Ἕλλην ληστὴς στρατὸς γελᾷ (285) ἐπεγγελῶν καὶ ἐπαγαλλόμενος τῷ θανάτῳ τοῦ πεπτωκότος, (286) ἀλλὰ περὶ ταῖς πρύμναις τὴν ἐσχάτην τοῦ βίου βλάβην δραμὼν ταῖς ναυσὶ συμφλεχθήσεται (288) προσκαλούμενος ἐν ταῖς εὐχαῖς πολλὰ τὸν φυγαδευτικὸν Δία (289) τοῖς πορθουμένοις τὰς πικρὰς καὶ θανατηφόρους μοίρας ἀποστρέψαι. (290) τότε οὔτε ἡ τάφρος οὔτε τῶν λιμένων καὶ τῶν ἐπαύλεων

278 *τῶν κρότων* pro *τὸν κρότον V* 282 *ὑποσπάσας* pro *ἀποσπάσας editor* 286 leg. *βαλβῖδα e P* pro *βλάβην* 288 *φυγαδευτικὸν* pro *φυγαδευτὴν V*

πρόβλημα καὶ σταυροῖσι κροσσωτὴ πτέρυξ,
οὐ γεῖσα χραισμήσουσιν, οὐδ' ἐπάλξιες·
ἀλλ' ὡς μέλισσαι συμπεφυρμένοι καπνῷ
καὶ λιγνύος ῥιπαῖσι καὶ γρυνῶν βολαῖς
ἄφλαστα καὶ κόρυμβα καὶ κληδῶν θρόνους
πυκνοὶ κυβιστητῆρες ἐξ ἑδωλίων
πηδῶντες αἱμάξουσιν ὀθνείαν κόνιν.
πολλοὺς δ' ἀριστεῖς πρωτόλειά θ' Ἑλλάδος
αἰχμῇ φέροντας καὶ σποραῖς ὠγκωμένους
αἱ σαὶ καταξανοῦσιν ὄβριμοι χέρες,
φόνῳ βρύουσαι κἀπιμαιμῶσαι μάχης.

291 *κροσσωτὴ d κροκωτὴ* lemm. *A* (alterum *κ* prope erasum) *κροσωτὴ C κορσωτὴ ABDE* 292 *γῖσα B γεῖσσα CD* 293 *συμπεφυρμένοι d συμπεφυρμέναι ABCDEΠT* 294 *γρουνῶν B* 296 *ἐδωλίων B* versus 298—303 sic perscripsit *A: 298, 300, 301, 299, 302, 303* litteris *α — ϛ* appositis rectum ordinem indicavit 298 *πρωτόλειά θ' Ἑλλάδος* om. *B* 299 *αἰχμῆς GHerm. V 239* 300 *ὄμβριμοι B* *χεῖρες A* 301 *φόνου ACP* *βρύουσαι d* cf. *Π* *βλύουσαι ABCDE*

---

(291) ἡ περιβολή, τὸ ὑψηλὸν τεῖχος | κορσωτή· κλιμακώδης | (292) ἡ στεφανὶς τοῦ τείχους ἢ αἱ στεφανίδες τῶν τειχῶν· πτέρυξ δὲ τὸ τεῖχος | βοηθήσουσιν οὐδὲ οἱ προμαχῶνες | (293) ἀλλ' ὥσπερ μέλισσαι συντεταραγμέναι τῷ καπνῷ | (294) τῆς ἀναφορᾶς καὶ ἀναδόσεως τοῦ καπνοῦ | ὁρμαῖς καὶ κορμῶν βολαῖς | (295) τὰ ἄκρα καὶ πρυμναῖα τῆς νεώς, κατ' εὐφημισμόν | ὡσαύτως, καὶ τὰ πρωραῖα ἄκρα. καὶ τὰς κλῆδας, ἐν αἷς κάθηνται οἱ ἐρέσσοντες | (296) συνεχεῖς κολυμβηταί | ἐκ τῶν σανιδωμάτων καὶ καταστρωμάτων τῆς νεώς | (297) ἀλλόμενοι αἱματώσουσιν ξένην γῆν | (298) πολλοὺς δ' ἀρίστους Ἕλληνας | τοὺς τὰ πρῶτα καὶ ἐξαίρετα λάφυρα (299) ἐπινίκια ἐκ τοῦ πολέμου | τῷ δόρατι κομίζοντας | (300) αἱ σαί τ' ἀναιρήσουσιν ἰσχυραὶ χέρες | (301) τοῦ φόνου βρύουσαι καὶ ἐπιθυμοῦσαι μάχης |

291 *ἢ ἑκατέρωθεν οἰκοδομή, τὸ τεῖχος* pro *τὸ ὑψηλὸν τεῖχος a* *κλιματώδης B* 292 *αἱ προμ. B* 295 *τοῖς πρωραίοις B* 298 *ἐξαίρετα τοῦ πολέμου λ. a f* 299 post 301 *a* *κομίζοντας καὶ εὐγενείᾳ ἐπηρμένους a* *μεγαλαυχοῦντας* pro *ἐπηρμένους f*

(291) ἡ περιβολὴ καὶ τὸ τοῖς ὀρθοῖς λίθοις κλιμακωτὸν τεῖχος (292) οὐδὲ αἱ στεφανίδες τῶν τειχέων βοηθήσουσιν οὐδὲ αἱ κλίμακες· (293) ἀλλ' ὥσπερ μέλισσαι τῷ καπνῷ συμπεφυρμέναι (294) καὶ ταῖς τοῦ καπνοῦ φοραῖς καὶ τῶν κορμῶν ταῖς βολαῖς (295) τὰ εὔθλαστα πρυμνήσια καὶ πρώραια καὶ τοὺς θρόνους καὶ τὰ καθεστήρια τῶν ἐρεσσόντων καὶ κωπηλατούντων (296) πυκνοὶ καὶ συνεχεῖς ἐπὶ κεφαλὴν ἐκ τῶν σανίδων (297) φυγόντες τῷ αἵματι μολυνοῦσι τὴν ἀλλοτρίαν γῆν. (298) πολλοὺς δὲ ἀριστεῖς τοὺς τὰ πρῶτα ἐπινίκια τῆς Ἑλλάδος (299) τῷ δόρατι φέροντας καὶ ταῖς σποραῖς καὶ τῇ εὐγενείᾳ ἐπηρμένους (300) αἱ σαὶ ἰσχυραὶ χεῖρες κατακόψουσι, (301) τῷ φόνῳ βρύουσαι καὶ ἐπιθυμοῦσαι τῆς μάχης.

295 *πρώρας V.* fortasse *πρωρήσια?*

ἐγὼ δὲ πένθος οὐχὶ μεῖον οἴσομαι,
τὰς σὰς στένουσα καὶ δι᾽ αἰῶνος ταφάς.
οἰκτρὸν γάρ, οἰκτρὸν κεῖν᾽ ἐπόψομαι φάος
καὶ πημάτων ὕψιστον, ὧν κράντης χρόνος,
μήνης ἑλίσσων κύκλον, αὐδηθήσεται.
Αἰαῖ, στενάζω καὶ σὸν εὔγλαγον θάλος,
ὦ σκύμνε, τερπνὸν ἀγκάλισμα συγγόνων,
ὃς ἄγριον δράκοντα πυρφόρῳ βαλὼν
ἴυγγι τόξων, τὸν τυπέντα δ᾽ ἐν βρόχοις
μάρψας ἀφύκτοις βαιὸν ἀστεργῆ χρόνον,
πρὸς τοῦ δαμέντος αὐτὸς οὐ τετρωμένος,
καρατομηθεὶς τύμβον αἱμάξεις πατρός.
Οἴμοι δυσαίων, καὶ διπλᾶς ἀηδόνας
καὶ σόν, τάλαινα, πότμον αἰάζω, σκύλαξ·

304 *οἰκτρὸν γάρ, οἰκτρὸν* om. *B* 307 *Αἰαῖ Bachm. αἶ αἶ V* *καὶ σὸν εὔγλαγον* om. *B* 308 *ἐναγκάλισμα D* 309 *ὃς* vel *ὅτ᾽ GHerm. V 239 ὅστ᾽ V* 310 *ἴυγγι τόξων* om. *B*

---

(302) ἐγὼ δὲ θρῆνος οὐ μικρόν, ἀλλὰ πολύ, μέγα ἀπενέγκω | (303) τὰς σὰς στενάζουσα καὶ μεχρὶ ζωῆς ταφάς | (304) ἐκείνην τὴν ἡμέραν θεάσομαι | (305) καὶ τῶν βλαβῶν τὴν μεγίστην | ὧντινων ὁ ἐπιτελεστὴς χρόνος | (306) τὸν τῆς σελήνης συστρέφων κύκλον, ῥηθήσεται |

(307) Φεῦ, φεῦ, θρηνῶ | καὶ τὸ σὸν εὐτραφές· λέγει δὲ τὸν Ἀστυάνακτα | σῶμα· (308) λέγει δὲ τὸν Τρωΐλον | φασὶ γὰρ διδύμους εἶναι Τρωΐλον καὶ Κασσάνδραν· καλόν. φίλτατε τῶν συγγόνων ἤτοι ἀδελφῶν | (309) τὸν Ἀχιλλέα λέγει· τῷ ἐρωτικῷ βαλών | (310) τὸν τρωθέντα δ᾽ ἐν τοῖς βρόχοις | (311) καταλαβὼν τοῖς ἀλύτοις τὸν μικρὸν ἤτοι ὀλίγον ἠγαπημένον χρόνον | (312) παρὰ τοῦ δαμασθέντος αὐτὸς τῷ ἔρωτι οὐ τετρωμένος, ὦ Τρωΐλε, | (313) τὴν κεφαλὴν τμηθεὶς φοινίξεις τὸν τύμβον, τοῦ Ἀπόλλωνος λέγει |

(314) Φεῦ, ὦ δυστυχής, ὁ κακὸν αἰῶνα ἤγουν βιωτὴν ἢ ζωὴν ἔχων | Λαοδίκην καὶ Πολυξένην λέγει | (315) καὶ τὸν σόν, ὦ τλῆμον, θάνατον, δειλὴ Λαοδίκη, φησί |

302 *πένθος B* *πολὺ καὶ a f* cf. *Lehrs Pind. 71* 304 *ἐκείνην γὰρ ἐκείνην a ἐλεεινὴν γὰρ ἐλεεινὴν ἐκείνην f* 313 *λέγει* om. *B*

(302) ἐγὼ δὲ οὐ μικρὸν τὸ πένθος ἀποίσομαι, (303) τὰς σὰς στενάζουσα διὰ τοῦ αἰῶνος ταφὰς καὶ κηδείας. (304) ἐλεινὸν γὰρ ἐκεῖνο, ἐλεινὸν τὸ φῶς θεάσομαι (305) καὶ τῶν βλαβῶν καὶ συμφορῶν τὸ μέγιστον, ὧντινων ὁ τελεστὴς χρόνος, (306) τῆς σελήνης περιελίσσων καὶ περιφέρων τὸν κύκλον, ὀνομασθήσεται.

Αἶ αἶ, στενάζω καὶ σὸν εὔγλαγον θάλος· (307) ἰού, ἰοὺ στενάζω ... εὐτραφὲς ἄνθος, (308) ὦ σκύμνε, τὸ φαιδρὸν ἐμοὶ περίπλεγμα τῶν ἀδελφῶν, Τρωΐλε, (309) ὅστις τὸν ἄγριον δράκοντα τῷ ἐρωτικῷ ἴυγγι τῶν τόξων τρώσας, τὸν δὲ βληθέντα ἐν τοῖς ἀλύτοις βρόχοις κατασχὼν ὀλίγον καὶ ἄστατον χρόνον (312) παρὰ τοῦ δαμασθέντος μὴ τετρωμένος τῷ ἔρωτι (313) κεφαλοτομηθεὶς τὸν τάφον καὶ βωμὸν αἱματώσεις τοῦ πατρὸς Ἀπόλλωνος. (314) φεῦ μοι, ὦ δυστυχὴς σκύλαξ Ἑκάβη, καὶ τὸν σόν, ταλαίπωρε, θάνατον στενάζω καὶ τὰς σὰς ἀηδόνας Λαοδίκην καὶ Πολυξένην·

307 *τὸ σὸν* post *στενάζω* inseruit *Bachm.*

ὧν τὴν μὲν αὐτόπρεμνον ἡ τοκὰς κόνις
χανοῦσα κευθμῷ χείσεται διασφάγος,
λεύσσουσαν ἄτην ἀγχίπουν στεναγμάτων,
ἵν᾽ ἄλμα πάππου καὶ χαμευνάδος μόροι
τῆς λαθρονύμφου πόρτιος μεμιγμένοι
σκύμνῳ κέχυνται, πρὶν λαφύξασθαι γάνος,
πρὶν ἐκ λοχείας γυῖα χυτλῶσαι δρόσῳ·
σὲ δ᾽ ὠμὰ πρὸς νυμφεῖα καὶ γαμηλίους
ἄξει θυηλὰς στυγνὸς Ἴφιδος λέων,
μητρὸς κελαινῆς χέρνιβας μιμούμενος,
ἣν εἰς βαθεῖαν λαιμίσας ποιμανδρίαν
στεφηφόρον βοῦν δεινὸς ἄρταμος δράκων

317 *θανοῦσα B* *χασμῷ D* 318 *λεύσσουσαν AΠ λεύσουσαν BCDE* *ἀγχίπους B* 319 *ἅλμα E* lemm. *A* *᾿ἄλμα*[σο] *C*[2] (accentum et explicativum illud [σο] addidit *C*[2]) *᾿ἄλμα D* *῾ἄλμα T* *χαρμενάδος B* *χαμενίδος*[σ] *C*[2] 321 *γλάγος* v. l. in *P* cf. *p* 326 *ἐς V* *ποιμανδρίαν Scal.* ap. *Cant.* *Ποιμανδρίαν V*

θρηνῶ· σκύλαξ δὲ ἡ Ἑκάβη· φασὶ γὰρ αὐτὴν μεταβληθῆναι εἰς κύνα | (316) ὧντινων τὴν μὲν αὐτοπόρευτον ἡ πατρίς· οὕτω γὰρ νοεῖται τοκάς | (317) χάνασα τῷ βάθει χωρήσει τοῦ χάσματος· σφάξ γὰρ πᾶν χάσμα γῆς | (318) βλεπομένην βλάβην | πλησίον τὴν τῆς πατρίδος πόρθησιν | (319) ὅπου. τὸ ἄλσος νῦν. τοῦ Τρωὸς καὶ τῆς πόρνης τῆς πενιχρᾶς ὁ μόρος | (320) λάθρα γὰρ τῷ Πριάμῳ ἐμίγνυτο | τῆς Κίλλης μιγέντες | (321) τῷ Μουνίππῳ, πρινὴ ἂν γεύσασθαι τροφῆς | πιεῖν, ῥοφῆσαι ὕδωρ. γρ. καὶ γλάγος, τουτέστι γάλα | (322) πρὶν ἐκ τοῦ τοκετοῦ μελη | ἀποπλῦναι τῷ ὕδατι | (323) σὲ δὲ πρὸς τὰ ἀτέλευτα νυμφεῖα | καὶ τοὺς γάμους | (324) ἀπάξει θυσίας | ὁ υἱὸς τῆς Ἰφιγενείας, ὑποκοριστικῶς, ὁ Πύρρος | (325) τῆς τραχείας μητρὸς θυσίας μιμούμενος | (326) ἥντινα εἰς τὴν κοίλην τάφρον | λαιμοτομήσας | λείπει τὸ ὡς, ἵν᾽ ᾖ ὥσπερ τὴν Βοιωτικὴν πόλιν | (327) ἐστολισμένην τὴν Πολυξένην ὥσπερ νύμφην | ὁ δεινὸς καὶ φοβερὸς δράκων, ὁ Διομήδης |

316 *αὐτόπρεμνον*? 317 *χανοῦσα a f* 323 'fortasse *ἀτέλεστα*' *Bachm.* *ἀτελέστατα f*

(316) ὧν τὴν μὲν Λαοδίκην σὺν τοῖς κλάδοις καὶ ῥίζαις ἡ τεκοῦσα γῆ (317) χανοῦσα τῷ μυχῷ διὰ τοῦ χάσματος χύσει καὶ καταπιεῖ (318) βλέπουσαν τῆς πατρίδος τὴν βλάβην πλησίον τῶν στεναγμῶν, (319) ὅπου τὸ ἄλσος τοῦ πάππου Τρωὸς καὶ τῆς πόρνης Κίλλας οἱ θάνατοι (320) τῆς λαθραίως νυμφευθείσης δαμάλεως μεμιγμένοι (321) τῷ τέκνῳ κέχυνται, πρὶν ἢ [γὰρ] γεύσασθαι [γάλα], (322) πρὶν ἢ ἐκ τῶν λοχευμάτων τὰ μελη ἀποπλῦναι τῷ ὕδατι. (323) σὲ δέ, ὦ Πολυξένη, ὠμῶς καὶ ἀπηνῶς πρὸς νυμφευτήρια καὶ γαμηλίους θυσίας ἄξει ὁ φοβερὸς λέων, τῆς Ἰφιγενείας υἱὸς Πύρρος, (325) τῆς χαλεπῆς μητρὸς τὰς θυσίας μιμούμενος, (326) ἥντινα εἰς τὴν βαθεῖαν τάφρον λαιμοτομήσας εἰς τὴν πόλιν Ποιμανδρίαν τῆς Βοιωτίας (327) ἐστολισμένην βοῦν φοβερὸς ἐπηρμένος δράκων

317 *χωρήσει καὶ καταπίεται Bachm.* *χώσει* int. lin. *Vind. 2* *ἑλκύσει*? 321 *γὰρ* (leg. *γρ.*) et *γάλα* inclusi cf. *P*

ῥαίσει τριπάτρῳ φασγάνῳ Κανδάονος
λύκοις τὸ πρωτόσφακτον ὅρκιον σχάσας.
σὲ δ' ἀμφὶ κοίλην αἰχμάλωτον ἠόνα
πρέσβαν Δολόγκων δημόλευστον ὠλένῃ,
ἐπεσβόλοις ἀραῖσιν ἠρεθισμένη,
κρύψει κύπασσις χερμάδων ἐπομβρία,
μαίρας ὅταν φαιουρὸν ἀλλάξῃς δομήν.
Ὁ δ' ἀμφὶ τύμβῳ τἀγαμέμνονος δαμεὶς
κρηπῖδα πηγῷ νέρθε καλλυνεῖ πλόκῳ,

328 *ῥαίσει* om. *B* *τριπάτρῳ ABDE τριπάτρῳ* (sscr. ου) *C²* *τριπάτρου* (sscr. ω) *SP* *τριπάτρου p* 329 *λύκοις* om. *B* 331 *πρέσβυν V* *δολόγκων*: (sscr. α) *ἐπευβόλοις ἀραῖσι*: (sscr. β) *δημολεύστην ὠλένῃ B* 332 *ἠρεθισμένῃ Cant.* *ἠρεθισμένην V* 333 *κύπασσις Thes. IV 2131 A* *κύπας τις V* *ἐπομβρία Thes. l. l.* *ἐπομβρίαν B* *ἐπομβρίᾳ ACDEΠT* 334 *ἀλλάξῃς δομήν* om. *B*

(328) τοῦ Ὠρίωνος, ἐπειδὴ υἱὸς ἦν Διὸς καὶ Ποσειδῶνος καὶ Ἀπόλλωνος | Ἡφαίστου. Ἄρεως. Ὠρίωνος. τοῦ Ὠρίωνος ἢ τοῦ Ἄρεως | (329) τὴν Ιφιγένειαν λέγει | ἀνοίξας ἢ ἀνακτίσας . . . εἰς ὅρκους ἐλθὼν ὁ Ἀχιλλεὺς ἀπέκτεινεν | (330) σὲ δὲ περὶ τὴν κοίλην δοριάλωτον | Ἠὼν πόλις Θρᾴκης (331) πρεσβύτιδα | Δόλογκοι ἔθνος Θρᾴκης | τὴν ὑπὸ τοῦ δήμου καταλευσθεῖσαν, λιθοβοληθεῖσαν χερί | (332) παρόσον κατηράσατο τοῖς Ἕλλησι πολλά, οἱ δὲ μὴ φέροντες ἐλιθοβόλησαν. ὠργισμένην, παρωξυμμένην. Ὅμηρος·

ἀλλ' ἴθι, μή μ' ἐρέθιζε

ἀντὶ τοῦ μή με παρόξυνε, μή με χαλέπαινε | (333) κρύψει χιτῶνας· ἔστι δέ τις χιτών | ἐν ταῖς νιφάσιν ἢ βολίσι τῶν λίθων | (334) ὁ κύων, νῦν δὲ τὴν Ἑκάβην | ὁπόταν φαιὸν σῶμα ἔχουσαν |

(335) Ὁ δὲ περὶ τῷ τάφῳ. τοῦ Διὸς ἐπώνυμον | (336) τὴν βάσιν· κρηπίς ἡ βάσις καὶ ὁ πούς | τῷ λευκῷ τριχώματι | κάτωθεν καλλυνεῖ τριχώματι |

328 *φθερεῖ τοῦ Ὠρ. a f* 329 *τοῖς Ἕλλησι τὴν — a f* leg. *ἀνακλείσας* vel *ἀνακλίσας* lacunam indicavi cf. *S* leg. *ἀπεκτάθη* 332 *παρόσον — πολλά* post *Θρᾴκης 331 B* *οἱ — ἐλιθοβόλησαν* om. *B* *A 32* 334 *ἔχουσαν ἀλλάξῃς σῶμα a f* 335 *οἱ B* *ἐπώνυμος, Ἀγαμέμνων ὁ Ζεὺς ἐν Λακεδαίμονι a* 336 prius *τριχώματι* om. *Bachm.*

(328) ἀποκτενεῖ τῷ ξίφει τοῦ τριπάτρου Ἄρεος (329) τοῖς λύκοις Ἕλλησι τὸ πρῶτον σφαγὲν ὁρκωμόσιον λύσας. (330) σὲ δέ, ὦ Ἑκάβη, αἰχμάλωτον περὶ τὴν κοίλην καὶ βαθεῖαν ἠόνα (331) τοῦ Δολόγκων ἔθνους πρέσβυν καὶ παλαιὰν τῇ χειρὶ τοῦ δήμου λιθόλευστον, (332) ὑβριστικαῖς κατάραις παροξύνουσαν, (333) καλύψει χιτών τις τῇ ἐπομβρίᾳ τῶν χειροπληθῶν λίθων, (334) ὅταν εἰς κυνὸς φαιὸν σῶμα ἀλλάξῃς τὸ σῶμα.

(335) ὁ δὲ Πρίαμος περὶ τὸν βωμὸν τοῦ Διὸς ἀποκτανθεὶς (336) τὴν βάσιν λευκῷ τῷ πλοκάμῳ κάτωθεν καλλωπίσει,

ὁ πρὸς καλύπτραν τῆς ὁμαίμονος τάλας
ὠνητὸς αἰθαλωτὸν ἐς πάτραν μολών,
τὸ πρὶν δ' ἀμυδρὸν οὔνομ' ᾀστώσας σκότῳ,
ὅταν χέλυδρος πυρσὸν οὑμόθριξ βαρὺν
ἀπεμπολητὴς τῆς φυταλμίας χθονὸς
φλέξας τὸν ὠδίνοντα μορμωτὸν λόχον
ἀναψαλάξῃ γαστρὸς ἑλκύσας ζυγά,
τῆς Σισυφείας δ' ἀγκύλης λαμπουρίδος
λάμψῃ κακὸν φρύκτωρον αὐτανέψιος
τοῖς εἰς στενὴν Λεύκοφρυν ἐκπεπλωκόσι
καὶ παιδοβρῶτος Πορκέως νήσους διπλᾶς.
Ἐγὼ δὲ τλήμων ἡ γάμους ἀρνουμένη

337 *καλύπτρης V* 338 *πρὸς πάτραν A* 339 *ὄνομ' D* *αἰστώσας V* 340 *οὑμόθριξ* cl. *P editor* *ὠμόθριξ V* 342 *μυρμωτὸν D* 343 *ἐκλύσας C* 346 *ἐκπεπλευκόσι V*

---

(337) ὁ παρὰ τῆς χρυσῆς καλύπτρας | τῆς ἀδελφῆς Ἡσιόνης ὁ τλήμων | (338) ἀγοραστὸς κεκαυμένην ὑφ' Ἡρακλέους | εἰς τὴν πατρίδα ἐρχόμενος | (339) τὸ πρότερον γὰρ Ποδάρκης ἐκαλεῖτο καὶ μετωνομάσθη Πρίαμος | σκοτεινὸν ὄνομα | ἀφανίσας τῷ σκότῳ | (340) ὁπόταν ὁ Ἀντήνωρ | λαμπρὸν ὁ ὁμῆλιξ, ὁ ὁμογέρων. τὸ δὲ βαρὺν πολὺν ἢ μέγαν | (341) πορθητής, προδότης | τῆς πατρίδος, τῆς φυσάσης γῆς | (342) φλέξας εἰς σημεῖον τὸν δούρειον ἵππον | φοβερὸν ἔνεδρον. Καλλίμαχος·
αὐτίκα τὴν κούρην μορμάσσεται | (343) ἀνοίξῃ, ψηλαφήσῃ | ἐκ τῆς νηδύος ἑλκύσας ἅμματα, δεσμούς | (344) ὅτι κατά τινας Ὀδυσσεὺς Σισύφου υἱὸς ἦν. ἐπικαμποῦς ἀλώπεκος | (345) λάμψῃ κακὴν λαμπηδόνα | ὁ Σίνων. Ὀδυσσεύς | (346) τοῖς εἰς Τένεδον λέγει ἐκπλεύσασιν Ἕλλησιν | (347) Πόρκις καὶ Χαρίβοια ὀνόματα ὄφεων, οἳ πλεύσαντες ἐκ τῶν Καλυδνῶν νήσων ἦλθον εἰς Τροίαν καὶ διέφθειραν τοὺς παῖδας Λαοκόωντος. ὁ δὲ Λαοκόων υἱὸς ἦν Ἀντήνορος. τοῦτο δὲ γέγονεν σημεῖον τῆς Ἰλίου ἁλώσεως |
(348) Ἐγὼ δ' αὐτὴ ἡ ταλαίπωρος Ἀλεξάνδρα | ἡ μὴ τοὺς γάμους συγκαταθεμένη |

337 *παρὰ* pro *περὶ editor* 340 *ὁμοήλιξ a* *ὠμογέρον f* *βαρὺ* B* *πολὺ* B* *μέγα B* 341 *γῆς* om. *B*
342 *h. Dian. 70*

(337) ὁ διὰ τῆς καλύπτρης τῆς ἀδελφῆς Ἡσιόνης ταλαίπωρος (338) ἀγοραστὸς εἰς τὴν ἐμπεπρησμένην πατρίδα παραγενόμενος, (339) τὸ πρότερον ταπεινὸν ὄνομα ἀφανίσας τῇ λήθῃ, (340) ὁπηνίκα ὁ χέλυδρος Ἀντήνωρ, ὁ ὠμόθριξ τῷ Πριάμῳ, ὁ προδότης καὶ πράτης τῆς πατρῴας καὶ φυσάσης αὐτὸν γῆς, τὸν βαρὺν σπινθῆρα (342) καύσας τὸν γεννήσοντα τὴν φοβερὰν ἐνέδραν ἤγουν τὸν δούρειον ἵππον (343) ἀνοίξῃ, τῆς γαστρὸς ἑλκύσας τὰς σανίδας, (344) τῆς δὲ τοῦ Σισύφου σκολιᾶς ἀλώπεκος ἤτοι τοῦ Ὀδυσσέως (345) ὁ αὐτανέψιος Σίνων ἀνάψῃ κακὴν λαμπηδόνα (346) τοῖς εἰς τὴν στενὴν Λευκόφρυν, νῦν δὲ Τένεδον, ἐκπεπλευκόσιν Ἕλλησι (347) καὶ τοῦ τοὺς παῖδας καταβιβρώσκοντος Πόρκεως δράκοντος δισσὰς Καλύδνας νήσους.
Ἐγὼ δὲ τλήμων ἡ γάμους ἀρνουμένη· (348) ἐγὼ δὲ ἡ ταλαίπωρος Ἀλεξάνδρα, ἡ τοὺς γάμους ἀθετοῦσα καὶ ἀποστρεφομένη,

343 *ἀνοίξῃ* pro *ἀνοίξει editor*
344 *σκολιᾶς* pro *κοιλίας Bachm.*

ἐν παρθενῶνος λαΐνου τυκίσμασιν
ἄνις τεράμνων εἰς ἀνώροφον στέγην
εἱρκτῆς ἀλιβδύσασα λυγαίας δέμας,
ἡ τὸν Θοραῖον Πτῷον Ὡρίτην θεὸν
λίπτοντ᾽ ἀλέκτρων ἐκβαλοῦσα δεμνίων
ὡς δὴ κορείαν ἄφθιτον πεπαμένη
πρὸς γῆρας ἄκρον Παλλάδος ζηλώμασι
τῆς μισονύμφου Λαφρίας Πυλάτιδος,
τῆμος βιαίως φάσσα πρὸς τόργου λέχος
γαμψαῖσιν ἅρπαις οἰνὰς ἑλκυσθήσομαι
ἡ πολλὰ δὴ Βούδειαν Αἴθυιαν Κόρην

351 *αλιβδύσασα B* *ἀλυβδήσασα C* *ἀλυβδήσασα D* *ἀλιβδήσασα E* 352 *πτῷον BCDE* *ὡρίτην* lemm. *A*, *C*? (*ὡρίτην* C^2) *A*? (*ὡρίτην V*) 353 *ἀλέκτρων δεμνίων* v. l. ap. *T* *λίπτοντα λέκτρων ABCDΠ λίπτον** λέκτρων E* 354 *πεπαμένη TCDE πεπαμμένη AB* 355 *ζηλώματι* c. gl. (e *p* sumpta) *τοῖς ζηλοτυπήμασι A* 356 *Πυλάτιδος Lob. Proll. 373 Πυλαίτιδος v* cf. *Lob. ell. II 37* 358 *γαμψαῖσιν* cl. *Π editor γαμφαῖσιν ACDET γναφαῖσιν B* quod placuit *GHerm. V 239* *ἅρπαις ABEΠS ἁρπάῖς* (η supra) *C ἅρπαις DT*

(349) ἐν τοῖς τοῦ παρθενῶνος λιθίνου οἰκοδομήμασιν, [ἐν] (350) χωρίς | κυρίως ξυλοστέγων, νῦν δὲ παστάδων, ὀροφωμάτων τῶν ἀπὸ λίθου καὶ οὐκ ἀπὸ ξύλων γεγονότων. πυραμοειδὲς λίθινον ὁ Πρίαμος ποιήσας οἴκημα ἐνέβαλεν τὴν Ἀλεξάνδραν | εἰς λίθινον στέγην | (351) φυλακῆς, ἀπὸ τοῦ εἴργειν. ἀφανίσασα οἷον ἀλιβδύσασ⟨α⟩, μεταφορικῶς ἀπὸ τῶν νεκρῶν | τῆς σκοτεινῆς τὸ σῶμα | (352) τὰ τρία ἐπωνυματοῦ Ἀπόλλωνος (353) ἐπιθυμοῦντα κοιτῶν ἐκβαλοῦσα τῶν στρωμάτων | (354) ὅτι δὴ παρθενίαν ἄφθαρτον κεκτημένη | (355) πρὸς ἄκρον γῆρας τῆς Ἀθηνᾶς ζηλοτυπίᾳ | (356) τῆς τὸν γάμον μισούσης· τὰ δὲ λοιπὰ ἐπώνυμα Ἀθήνης | (357) τότε βίᾳ ὡς φάσσα πρὸς γυπὸς κοίτην | (358) ἐπικαμπέσι δρεπάνοις· λέγει δὲ γνάθοις | ὡς ἄμπελος· οἱ δὲ ἅτε περιστερὰ | συρήσομαι | (359) ἥτις

349 *λαΐνου B* *ἐν* om. *a Bachm.* post *ἐν* in uno *B* scripta sunt *παστάδων — γεγονότων.* transposuit *Bachm.* 350 *πυραμοειδὲς* pro *πυραμοειδῆ Bachm.* 351 *ἀλὶ δύσασα Bachm.* at cf. *ἀλίβας* 355 *ζηλοτυπίᾳ* pro *ζηλοτυπιῶν Bachm.*

(349) ἐν τοῖς οἰκοδομήμασι τοῦ λιθίνου παρθενῶνος (350) χωρὶς παστάδων καὶ ὀροφωμάτων ξυλίνων εἰς ἄξυλον στέγην (351) ὑπὸ τῆς εἱρκτῆς ἀφανίσασα τὸ σῶμα, (352) ἡ τὸν Θοραῖον καὶ Πτῷον καὶ Ὡρίτην θεὸν Ἀπόλλωνα (353) ἐπιθυμοῦντα τῶν εὐνῶν καὶ μίξεων ἐκβαλοῦσα τῶν κοιτῶν (354) ὡς ἂν παρθενείαν ἄφθαρτον κεκτημένη (355) πρὸς ἄκρον γῆρας τῆς πολεμικῆς Ἀθηνᾶς καὶ μισογάμου καὶ Λαφρίας καὶ Πυλαίτιδος τοῖς ζηλοτυπήμασι (357) τότε βιαίως ὡς φάσσα εἰς γυπὸς κοίτην (358) γνάθοις ἐπικαμπέσι ἢ δρεπάναις ὑπὸ τοῦ Αἴαντος ὡς ἄμπελος ἑλκυσθήσομαι, (359) ἥτις πολλὰ τὴν Βούδειαν καὶ Αἴθυιαν κόρην Ἀθηνᾶν

355 *γῆρας* pro *γῆς V*

ἀρωγὸν αὐδάζουσα τἄρροθον γάμων.
ἣ δ' εἰς τέραμνα δουρατογλύφου στέγης
γλήνας ἄνω στρέψασα χώσεται στρατῷ,
ἐξ οὐρανοῦ πεσοῦσα καὶ θρόνων Διός,
ἄνακτι πάππῳ χρῆμα τιμαλφέστατον.
ἑνὸς δὲ λώβης ἀντὶ μυρίων τέκνων
Ἑλλὰς στενάξει πᾶσα τοὺς κενοὺς τάφους,
οὐκ ὀστοθήκαις, χοιράδων δ' ἐφημένους,
οὐδ' ὑστάτην κεύθοντας ἐκ πυρὸς τέφραν
κρωσσοῖσι ταρχυθεῖσαν, ὡς φθιτῶν θέμις,
ἀλλ' οὔνομ' οἰκτρὸν καὶ κενηρίων γραφὰς
θερμοῖς τεκόντων δακρύοις λελουμένας
παίδων τε καὶ θρήνοισι τοῖς ὁμευνίδων.
Ὀφέλτα καὶ μύχουρε χοιράδων Ζάραξ

360 *αὐδάξασα V* 366 *στενάξει ADΠs στενάζει BE στενάζει* (ξ supra) *C²* 367 *ἐφημένους ABEΠ ἐφημένους* (ει supra) *C² ἐφειμένους* (ημ supra) *D* 368 *οὐδ'* om. *B* *τέφρην ABDE* 369 *κροσσοῖσι BC* *ἡ θέμις φθιτῶν B* 370 *γραφὰς ABCDΠs* supra *γρ. ταφὰς A ταφὰς,* supra *γραφὰς E*

πολλὰ δὴ ἐπώνυμα Ἀθήνης | (360) βοηθὸν κράξασα καὶ συλλήπτορα γάμων | (361) ἡ δὲ εἰς τὰ ἄκρα στέγη. κοινῶς πάντα | τῆς ὀροφῆς | (362) τοὺς ὀφθαλμοὺς ἄνω τείνασα ὀργισθήσεται τῷ στρατῷ | (363) ἐκ τοῦ οὐρανοῦ ῥιφεῖσα καὶ τῶν θρόνων τοῦ Διός | (364) τῷ βασιλεῖ πάππῳ | χρῆμα ἄγαν τίμιον | (365) ἀντὶ ἑνὸς δὲ βλάβης, τοῦ Αἴαντος τῆς ἀμπλακίας | πολλῶν παίδων | (366) πᾶσα ἡ Ἀχαῒς θρηνήσει τὰ κενοτάφια ἤτοι ψευδήρια | (367) οὐκ ἐν τοῖς τάφοις καὶ ταῖς ὀστοθήκαις | τῶν ὑφάλων πετρῶν δ' ἐπικαθημένους | (368) οὐδὲ τὴν ἐσχάτην κρύπτοντας ἐκ τοῦ πυρὸς τέφραν | (369) τοῖς ἀγγείοις, τοῖς ἀμφορεῦσι | ταφεῖσαν, ὡς ἐστιν ὁ νόμος τῶν ἀποθνησκόντων | (370) ἀλλ' ὄνομα ἐλεεινόν | καὶ κενοταφίων γραφάς | (371) τοῖς θερμοῖς δάκρυσι τῶν τεκόντων | βεβρεγμένας | (372) καὶ τῶν παίδων τοῖς θρήνοις καὶ τοῖς τῶν γυναικῶν |

(373) Ὄρος Εὐβοίας. ὁ φυλάττων τοὺς μυχοὺς τῶν χοιράδων. Ζάραξ δὲ ἀκρωτήριον |

365 *ἀντ' οὐδενὸς B* *δὲ* om. *Ba*

(360) ἀντιλήπτορα καλέσασα καὶ βοηθὸν τῶν γάμων. (361) αὕτη δὲ εἰς τὰς ὀροφὰς τῆς ἀπὸ ξύλου γεγλυμμένης στέγης (362) τοὺς ὀφθαλμοὺς ἄνω στρέψασα κοτέσσεται καὶ μηνίσει τῷ στρατῷ, (363) ἡ ἐκ τοῦ οὐρανοῦ πεσοῦσα καὶ τῶν τοῦ Διὸς θρόνων (364) τῷ βασιλεῖ πάππῳ Ἴλῳ πρᾶγμα τιμιώτατον. (365) ἀντὶ ἑνὸς δὲ ἁμαρτίας Αἴαντος πᾶσα ἡ Ἑλλὰς στενάξει τῶν μυρίων τέκνων τὰ κενοτάφια (367) τῶν ὑφάλων [σῶν] πετρῶν ἐπικαθημένων, οὐχὶ τοῖς τάφοις καὶ ταῖς τῶν ὀστῶν θήκαις (368) οὐδὲ τὴν ἐσχάτην ὁρῶντες ἐκ τοῦ πυρὸς τέφραν (369) τοῖς ἀμφορεῦσιν ἢ τοῖς ξέσταις ταφεῖσαν, ὡς νόμος ἐστὶ θνητῶν, (370) ἀλλ' ὄνομα ἐλεεινὸν καὶ τῶν κενοταφίων τὰς ἐπιγραφὰς (371) τοῖς θερμοῖς τῶν τεκόντων δάκρυσι καὶ τῶν παίδων καὶ τῶν γαμετῶν τοῖς θρήνοις βεβρεγμένας. (373) ὦ Ὀφέλτα καὶ ὦ μύχουρε καὶ ὦ Ζάραξ τῶν ὑφάλων πετρῶν

367 *σῶν* om. *V*

σπίλοι τε κατ Τρύχαντα καὶ τραχὺς Νέδων
καὶ πάντα Διρφωσσοῖο καὶ Διακρίων
γωλειὰ καὶ Φόρκυνος οἰκητήριον,
ὅσων στεναγμῶν ἐκβεβρασμένων νεκρῶν
σὺν ἡμιθραύστοις ἰκρίοις ἀκούσετε,
ὅσων δὲ φλοίσβων ῥαχίας ἀνεκβάτου
δειναῖς παλιρροίαισιν ἕλκοντος σάλου,
ὅσων δὲ θύννων ἠλοκισμένων ῥαφὰς
πρὸς τηγάνοισι κρατός, ὧν καταιβάτης
σκηπτὸς κατ' ὄρφνην γεύσεται δῃουμένων,
ὅταν καρηβαρεῦντας ἐκ μέθης ἄγων

374 *κατ Τρύχαντα Stephani* testimonio usus *GHerm. V 240* cf. *Thes. VII 2549 C καὶ τρυχᾶτα ABs τρυχάτα C* (accentum add. *C*²) *τρύχατα DE* 377 *ὅσον στεναγμὸν B* cf. *P* 378 *ἀκούσαιτε P* 379 *ὅσον δὲ φλοῖσβον ABP τραχεῖαν ἐκβάτου B* 380 *δίναις V παλιρροίαισιν editor παλιρροίῃσιν* lemm. *A, CDp παλιρροίοισιν ABP παλιρρόοισιν E παλιρροίβδῃσιν Scal.* ap. *Cant. παλιρροίβδοισιν Thes. VI 99 C ἕλκοντας BC* 381 *ὅσον BP τε B* ^β^*ῥαφὰς*: ^α^*ἠλοκισμένων* (*ω* ex *ο*) *B* 382 *θηγάνοισι Muell. Add. 287* 384 *καρηβαροῦντας D*

---

(374) αἱ ὕφαλοι πέτραι | πόλις καὶ ὄρος Εὐβοίας | ὄρος Εὐβοίας | (375) ποταμὸς Εὐβοίας ὁ Διρφωσσός | ὄρη Εὐβοίας τὰ Διάκρια | (376) αἱ καταδύσεις αἱ ἐν θαλάσσῃ | καὶ τὸ τοῦ Φόρκυνος οἴκημα | (377) ὁπόσον στεναγμὸν ἐκριφέντων νεκρῶν | (378) σὺν τοῖς ἡμικλάστοις | ἱστοῖς, ζυγοῖς, ξύλοις ἐνωτισθείητε | (379) ὁπόσον δέ, ποῖον ἦχον τραχείας πέτρας ἀνεκβάτου | (380) συστροφαῖς ὀπισθορμήτοις | σύροντος τοῦ σάλου | (381) ὁπόσον δέ. τῶν Ἑλλήνων νῦν | ηὐλακισμένων καὶ διεφθαρμένων, ὅτι ὑπὸ τῶν πετρῶν ἐξάνθησαν | τὰς συνδέσεις τῶν κεφαλῶν | (382) πρὸς ταῖς ὑφάλοις πέτραις | κεφαλῆς, ὧν ὁ κάτω βαίνων | (383) κεραυνὸς κατὰ τὴν σκοτίαν | γεύσεται κοπτομένων | (384) ὅταν ὥσπερ τὴν κεφαλὴν ἀλγοῦντας | ἐξ οἰνοφλυγίας φέρων |

377 *ὁπόσων στεναγμῶν a* 378 *ἐνωτίσθητε a ἀκούσετε f* 379 *ποῖον* pro *ποιὸν Bachm.* 381 *ὁπόσων* pro *ὁπόσον δέ a ηὐλακισμένων — ἐξάνθησαν* post *κεφαλῶν B λελακισμένων Bachm.* 384 *ὅταν ὥσπερ* pro *ὥσπερ ὅταν editor*

(374) καὶ ὦ σπιλάδες καὶ ὦ Τρυχάτα καὶ ὦ Νέδων τραχὺς (375) καὶ πάντα τὰ τοῦ Διρφωσσοῦ ὄρους καὶ ὦ Διακρίων (376) καὶ αἱ καταδύσεις τῆς θαλάσσης καὶ τὰ τοῦ Φόρκυνος οἰκητήρια, (377) ὁπόσων στεναγμῶν τῶν ἐκβεβρασμένων νεκρῶν (378) σὺν τοῖς ἡμιθραύστοις ξύλοις ἀκούσετε, (379) ὁπόσον δὲ φλοῖσβον τῆς ἀνεκβάτου καὶ τραχείας πέτρας (380) ταῖς συστροφαῖς καὶ παλιρροίαις τοῦ σάλου ἕλκοντος ἀκούσετε, (381) ὁπόσων δὲ Ἑλλήνων διεφθαρμένων τὰς συνδέσεις (382) τῆς κεφαλῆς πρὸς ταῖς πλατείαις πέτραις, ὧντινων καταιβάτης (383) κεραυνὸς κατὰ τὴν νύκτα φάγεται διακοπτομένων (384) ὁπόταν ὡς μεθύοντας ἐκ τῆς μέθης ἀπάγων ὁ Ναύπλιος

375 *τῶν Διακρίων Bachm.* 383 *κεραυνὸς* pro *κεραυνῶν V*

λαμπτῆρα φαίνῃ τὸν ποδηγέτην σκότου
σίντης ἀγρύπνῳ προσκαθήμενος τέχνῃ.
Τὸν δ' οἷα δύπτην κηρύλον διὰ στενοῦ
αὐλῶνος οἴσει κῦμα γυμνήτην φάγρον,
διπλῶν μεταξὺ χοιράδων σαρούμενον.
Γυραῖσι δ' ἐν πέτραισι τερσαίνων πτερὰ
στάζοντα πόντου δευτέραν ἅλμην σπάσει,
βληθεὶς ἀπ' ὄχθων τῷ τριωνύχῳ δορί,
ᾧ νιν κολαστὴς δεινὸς οὐτάσας λατρεὺς
ἀναγκάσει φάλλαισι κοινωνεῖν δρόμου,
κόκκυγα κομπάζοντα μαψαύρας στόβους.

385 *σκότους ABCD* 386 *πυρὸς καθήμενος B* 388 *γυμνῆτην A* *γυμνητην B* *γυμνίτην CD* *γυμνίτην* (η supra) *E* *γυμνήτην* (ι supra) *T* 393 *δεινὸς* om. *D* *λατρεὺς τότε D* 394 *φόνου B* 395 *στόμους* conj. *T* *στιβους* (ομ supra) *C*² *στόβους* (μους supra) *D* (*βους D*² firmans fortasse evanidos tractus *m*¹) *στόμους E*

(385) λαμπάδα καίῃ | τὸν οδηγὸν τῆς νυκτός | (386) ὁ βλαπτικός, ὁ Ναύπλιος, ναύλιος | τῇ κυβερνητικῇ |
(387) Τὸν δὲ Αἴαντα ὁποῖα κολυμβήτην | τὸν ἄρρενα ἀλκυόνα λέγει. διὰ τοῦ στενοῦ | (388) εἰσόδου, πορθμοῦ. φέρει κῦμα | ὥσπερ ποιὸν ἰχθύν | (389) μεταξὺ δύο πετρῶν ὑφάλων | κλυδωνιζόμενον | (390) ὄνομα πετρῶν αἱ Γυραὶ ἐν Τήνῳ | ξηραίνων, ψύχων τὰ μέλη (391) ἀποστάζοντα | φυγὼν τὸ πρῶτον, εἶτα ἐλασθεὶς τῇ τριαίνῃ δεύτερον τῆς θαλάσσης πίεται | ἑλκύσει, πίεται (392) βληθεὶς ἀπὸ τῶν ὄχθων | τῇ τριαίνῃ | (393) ᾧτινι αὐτόν | ὁ χαλεπὸς τιμωρὸς τρώσας. ἐπώνυμον Ποσειδῶνος, ἐπειδὴ ἐλάτρευσε τῷ Λαομέδοντι | (394) ἀναγκάσει ταῖς φαλλαίναις ἢ τοῖς κήτεσι τοῦ δρόμου κοινωνεῖν | (395) κόκκυξ ὄρνις ποιὸς καὶ δειλός, ὅμοιος ἱέρακι. κομπάζοντα δὲ αὐτόν, αὐχοῦντα, γαυριῶντα | ματαίας χλεύας, λοιδορίας, ὕβρεις· τὸ γὰρ στόβους οὕτω δηλοῖ Ἀπολλώνιος·
τὰς δ' αἰσχροῖς ἥρωες ἐπιστρεβέεσκον ἔπεσιν |

386 *ὡς N. B* *ναύλιος* om. *a f* *ναυτίλος*? an dittographia? *πρὸς τέχνῃ δὲ τῇ κυβ. a* 388 *εἰς ἅιδου B* 389 *κλυδωνιζόμενον, ταραττόμενον a* 394 *φαλαίναις a f* 395 *ματαίαις Ba* *IV 1725*

(385) φανὸν φαίνῃ, τὸν ὁδηγὸν τοῦ σκότους, (386) ὁ βλαπτικός, τῇ ἀγρύπνῳ τέχνῃ παρακαθήμενος. (387) τὸν δὲ Αἴαντα ὥσπερ κολυμβήτην ἀλκυόνα διὰ στενοῦ (388) πορθμοῦ ἢ εἰσόδου ἀπάξει τὸ κῦμα τὸν γυμνὸν φάγρον (389) μεταξὺ δύο τραχέων πετρῶν σπαραττόμενον καὶ κλυδωνιζόμενον. (390) ἐν ταῖς Γυραῖς δὲ πέτραις τινάσσων καὶ ξηραίνων καὶ ψύχων τὰ πτερὰ (391) ἀποστάζοντα τῆς θαλάσσης δευτέραν θάλασσαν ἐπισπάσεται (392) τυπεὶς ἀπὸ τῶν αἰγιαλῶν τῷ τριαίνῳ δόρατι, (393) ᾧτινι αὐτὸν ὁ φοβερὸς τιμωρὸς καὶ λατρεὺς τοῦ Λαομέδοντος Ποσειδῶν πλήξας (394) ἀναγκάσει τοῖς κήτεσι κοινωνεῖν τοῦ δρόμου (395) τὸν ὡς κόκκυγα καυχώμενον ματαίας λοιδορίας.

385 *φαίνῃ* pro *φαίνει V* *σκότους* pro *κότους V*

ψυχρὸν δ᾽ ἐπ᾽ ἀκταῖς ἐκβεβρασμένον νέκυν
δελφῖνος ἀκτὶς Σειρία καθανανεῖ.
τάριχον ἐν μνίοις δὲ καὶ βρύοις σαπρὸν
κρύψει κατοικτίσασα Νησαίας κάσις,
Δίσκου μεγίστου τάρροθος Κυναιθέως.
τύμβος δὲ γείτων ὄρτυγος πετρουμένης
Τρέμων φυλάξει ῥόχθον Αἰγαίας ἁλός.
τὴν Καστνίαν δὲ καὶ Μελιναίαν θεὸν
λυπρὸς παρ᾽ Ἅιδην δεννάσει κακορροθῶν,
ἥ νιν παλεύσει δυσλύτοις οἴστρου βρόχοις
ἔρωτας οὐκ ἔρωτας, ἀλλ᾽ Ἐρινύων
πικρὰν ἀποψήλασα κηρουλκὸν πάγην.

396 *δ᾽* om. *B* 397 *σειρία BCp σειρίου ADEPs σειρία*^{ου} *T* *καταυανεῖ CD* $^{\vartheta}$*καταυανεῖ TE* 398 *σαπρὸν d σαθρὸν ABCDE* 401 *πετρουμένης p* 'videtur in textu legisse' *Bachm. πετρουμένην s* accommodans vocem ad consecutionem verborum *πτερουμένης V* *Τρέμων ΠS τρέμων V* 403 *Κασθνίαν*^{στρι} *D* *μελινναίαν AB μελιδναῖαν D* (*δ* e *ν*) 405 *μιν V* 406 *ἐρινύων d ἐριννύων ACDE* prius *ν* delevit *B*

(396) ψυχρὸν δὲ ἢ ἐλεεινὸν ἐπὶ τοῖς αἰγιαλοῖς | ἐκριφέντα νεκρόν | (397) ὥσπερ δελφῖνος σῶμα ἐκβρασθέντα ἡ τοῦ ἡλίου ἀκτὶς ξηρανεῖ· Σείριος γὰρ ὁ ἥλιος | (398) τεταριχευμένον | ἐκ παραλλήλου τὸ αὐτό· σαθρὸν δὲ τὸ σεσηπός | (399) κρύψει ἐλεήσασα ἡ Θέτις | (400) τοῦ Διός· ἀντὶ γὰρ αὐτοῦ λίθος τῷ Κρόνῳ ἐδόθη· βοηθός | Κυναιθεύς εὐθεῖα. τοῦ Διὸς παρὰ τοῖς Ἀρκάσιν | (401) τάφος δὲ γείτων τῆς Δήλου νήσου | (402) ὄνομα χωρίου ἐν Δήλῳ. φυλάξει | τῆς Αἰγαίας θαλάσσης | (403) τὴν Ἀφροδίτην λέγει | (404) ὁ λυπηρὸς παρὰ τὸν Ἅιδην ὑβρίσει κακολογῶν | (405) ἥτις αὐτὸν ἀγρεύσει | τοῖς δυσλύτοις ἀφροδισίοις | (406) ἐπιθυμίας οὐκ ἐπιθυμίας, ἀλλὰ δαιμόνων καταχθονίων | (407) τὴν πικρὰν ἀποτινάξασα καὶ κινήσασα | θανατηφόρον παγίδα ἢ δίκτυον |

398 *σαπρόν* pro *σαθρὸν* — *σεσηπός a* 400 *παρὰ* pro *περὶ Bachm.*

(396) ψυχρὸν δὲ ἐν ταῖς ἀκταῖς καὶ τοῖς αἰγιαλοῖς ἐκβεβρασμένον καὶ ἐκπεπτωκότα ὡς δελφῖνος νεκρὸν ἡ ἡλιακὴ ἀκτὶς καταξηρανεῖ. (398) τεταριχευμένον ἐν τοῖς μνίοις καὶ βρύοις σαθρὸν καὶ διαλελυμένον (399) κατακρύψει καὶ διασώσει ἐλεήσασα ἡ τῆς Νησαίας Νηρηίδος ἀδελφὴ Θέτις, (400) ἡ τοῦ μεγίστου Διὸς καὶ Κυναιθέως βοηθός. (401) ὁ γείτων δὲ τάφος τῆς πετροθήκης Ὀρτυγίας ἤτοι Δήλου νήσου (402) ὁ Τρέμων διατηρήσει τὸν ῥοῦν τῆς Αἰγαίας θαλάσσης. (403) τὴν Καστνίαν δὲ καὶ τὴν Μελινναίαν θεὸν Ἀφροδίτην (404) ὁ λυπηρὸς Αἴας παρὰ τὸν Ἅιδην ὑβρίσει κακολογῶν καὶ λοιδορῶν, (405) ἥτις αὐτὸν ἀγρεύσει τοῖς ἀλύτοις τοῦ πόθου δικτύοις, (406) ἔρωτας καὶ οὐκ ἔρωτας, ἀλλὰ τῶν ἐρινύων καὶ τιμωρητικῶν δαιμόνων (407) πικρὰν καὶ χαλεπὴν ἀποτινάξασα καὶ ἀποκινήσασα τὴν εἰς θάνατον καὶ κῆρα ἕλκουσαν, θανατηφόρον, παγίδα.

400 *κυναιθέως* pro *κύναιθως V*
401 *πετρωθείσης Bachm.* fortasse recte
406 *τιμωρητικῶν* pro *τιμωριῶν V*
407 *ἕλκουσαν, θανατηφόρον* pro *θαν. ἑλκ. editor*

῞Απασα δ' ἄλγη δέξεται κωκυμάτων,
ὅσην ῎Αραιθος ἐντὸς ἠδὲ δύσβατοι
Λειβήθριαι σφίγγουσι Δωτίου πύλαι,
οἷς οὑμὸς ἔσται κἀχερουσίαν παρὰ
ῥηγμῖνα δαρὸν ἐστεναγμένος γάμος.
πολλῶν γὰρ ἐν σπλάγχνοισι τυμβευθήσεται
βρωθεὶς πολυστοίχοισι καμπέων γνάθοις
νήριθμος ἑσμός· οἳ δ' ἐπὶ ξένης ξένοι
παῶν ἔρημοι δεξιώσονται τάφους.
Τὸν μὲν γὰρ Ἠιὼν Στρυμόνος Βισαλτία
᾿Αψυνθίων ἄγχουρος ἠδὲ Βιστόνων
κουροτρόφον πάγουρον Ἠδωνῶν πέλας

408 om. *B* 410 *λειβήθριοι*[αι] *C^2E λειβήθριαι*[οι] *D* *πύλαις p* 415 *ἑσμός Bachm. ἐσμός V* *ἠδ' P* *ξένοι ξένοι B ξένοις ξένοι D* 416 *πηῶν E* *παῶν*[η] *C^2* 417 *βυσαλτία CE* 418 *ἀψινθίων DE* *αψυν*[β]*θίων* : *βισαλτία*[α] : *ἄγχουρος* : *τύμφρηστος* : *ἠδὲ βιστόνων* : *B*

(408) (409) ὁπόσην ἐντός. ὁ ποταμός | καὶ οἱ δύσβατοι | (410) πύλας εἶπεν, καθὸ εἰς στενὸν λήγει τὸ Δώτιον, τὸ ἀκρωτήριον τοῦ Ὀλύμπου, καὶ συγκλείει δίκην πυλῶν | (411) ἐν οἷς ὁ ἐμὸς γενήσεται καὶ παρὰ τὴν Ἀχερουσίαν | (412) αἰγιαλὸν ἐπὶ πολὺν χρόνον | τεθρηνημένος γάμος· λέγει δὲ τὸν θάνατον | (413) πολλῶν γὰρ κητῶν ἐν τοῖς σπλάγχνοις ταφήσεται, καταποθήσεται | (414) βρωθεὶς τοῖς πολυστοίχοις | τῶν κητῶν τοῖς γνάθοις | (415) ἀναρίθμητον πλῆθος· καὶ ξένοι Ἕλληνες | (416) φίλων ἔρημοι ἢ κατ' ἐπιγαμίαν συγγενῶν | τοὺς τάφους φιλοφρονήσονται |

(417) Τὸν μὲν γὰρ Φοίνικα ἡ ἐν Θρᾴκῃ πόλις τελευτήσαντα ἐδέξατο ὑπὸ Νεοπτολέμου ταφέντα | ποταμοῦ Θρᾴκης | ἡ Θρᾳκική (418) ἔθνος Θρᾳκικόν | ἀστυγείτων, ὅμορος | ἔθνος Θρᾳκικόν | (419) τὸν Φοίνικα διὰ τὸ γῆρας. καὶ διὰ τὸ τροφὸν εἶναι Ἀχιλλέως | ἔθνους Θρᾳκικοῦ πλησίον |

408 *ἅπασα δὲ ἡ γῆ a* *ἅ. δ. ἡ γ. λύπας δέξεται θρηνῶν f*
417 *ἡ Θρᾳκικὴ* post prius *ἔθνος Θρᾳκ.* *418 B* 418 *ποταμὸς, ἔθνος — a* *τύμφρηστος: ὄρος φθίας ἢ τραχῖνος B*

(408) ἅπασα δὲ ἡ γῆ πόνους καὶ ἀλγηδόνας δέχεται τῶν θρήνων καὶ στεναγμάτων, (409) ὁπόσην ὁ Ἄραιθος ποταμὸς καὶ αἱ κακόβατοι (410) Λειβήθριαι συνέχουσιν ἐν ταῖς τοῦ Δωτίου ἀκρωτηρίου πύλαις, ἤτοι πᾶσα ἡ Ἑλλάς, (410) οἷστισιν ὁ ἐμὸς ἔσται παρὰ τὴν Ἀχερουσίαν ῥηγμῖνα καὶ ἀκτὴν ἐπὶ πολὺ ἐστεναγμένος γάμος (413) πολλῶν γὰρ ἐν τοῖς ἐγκάτοις βρωθεὶς τοῖς πολυοδοῦσι γνάθοις τῶν κητῶν ἀναρίθμητος ὄχλος ταφήσεται, οἱ δ' ἐπὶ ξένης ξένοι (416) τῶν συγγενῶν χωρὶς τάφους ἀσπάσονται.

Τὸν μὲν γὰρ Ἠιὼν Στρυμόνος Βισαλτία· (417) τὸν μὲν γὰρ Φοίνικα ἡ πόλις τῶν Θρᾳκῶν, Ἠιὼν τοῦ ποταμοῦ Στρυμόνος, ἔθνους τῶν Βισάλτων, (418) τῶν Ἀψυνθίων καὶ τῶν Βιστόνων ἡ ἀστυγείτων ἄγχουρος (419) καὶ τῶν Ἠδωνῶν ἐγγύς, τὸν παιδοτρόφον τοῦ Ἀχιλλέως Φοίνινα τὸν γέροντα

κρύψει, πρὶν ἢ Τυφρηστὸν αὐγάσαι λέπας,
τὸν πατρὶ πλεῖστον ἐστυγημένον βροτῶν,
ὅμηρον ὅς νιν θῆκε τετρήνας λύχνους,
ὅτ' εἰς νόθον τρήρωνος ηὐνάσθη λέχος.
Τρισσοὺς δὲ ταρχύσουσι Κερκάφου νάπαι
Ἄλεντος οὐκ ἄπωθε καύηκας ποτῶν.
τὸν μέν, Μολοσσοῦ Κυπέως Κοίτου κύκνον,
συὸς παραπλαγχθέντα θηλείας τόκων,
ὅτ' εἰς ὀλύνθων δῆριν ἑλκύσας σοφὴν
τὸν ἀνθάμιλλον αὐτὸς ἐκ μαντευμάτων

420 *κρύψῃ AB* cf. *P* *Τυμφρηστὸν V* 421 *πρὶν* pro *πατρὶ BP* 422 *ὅμηρον* om. *B* *μιν V* 423 *ηὐνάσθη λέχος* om. *B* 424 *κερκάφους B κεκάρφου CE* 425 *καύηκας οὐκ ἄπωθεν Ἀλέντα ποτῶν V* transposuit *GHerm. V 240* *Ἄλεντος GHerm. l. l. ἀλέντα ADSP ἀλέντὰν B* (*ν* finale in *s* mutavit *B²*) *ἀλέντ* (ο superscr.) *C* (*α* primo scripserat) *ἀλέντα* (ο superscr.) *E* cf. *T* *ἄπωθε GHerm. l. l. ἄπωθεν AB ἄποθεν TD ἄποθεν* (ω superscr.) *C²E* 427 *τόκον BE τόκον* (ω superscr.) *A³*

(420) καταχρύψει πρότερον ἢ πόλις [Θρᾳκης] ἢ ὄρος Τραχῖνος ἀρσενικῶς | θεάσασθαι ἀκρωτήριον | (421) τὸν πρὶν πολὺ μεμισημένον ὑπὸ τῶν ἀνθρώπων | (422) τυφλὸν παρὰ τὸ μὴ ὁρᾶν· ὅστις αὐτὸν ἐποίησεν τρυπήσας τοὺς ὀφθαλμούς | (423) ὅτε εἰς τὴν ξένην δειλῆς | (424) τοὺς τρεῖς δὲ θάψουσι, Κάλχαντα, Ἰδομενῆα καὶ Σθένελον | περιληπτικῶς ἡ Κολοφών· νάπαι δ' οἱ σύμφυτοι τόποι | (425) λάρους, οὐ πόρρωθεν | Ἄλης ποταμὸς Κολοφῶνος· ποιητικῶς δὲ εἶπεν Ἀλέντα | (426) τὰ τρία ἐπίθετα καὶ ἐπώνυμα Ἀπόλλωνος | τὸν Κάλχαντα, διὰ τὸ μαντικόν | (427) τοῦ χοίρου πλανηθέντα καὶ ἀγνοήσαντα θηλείας γεννῶν | (428) ὅτε εἰς ἀγρίων σύκων φιλονεικίαν | σύρας ἐπιστήμονα | (429) τὸν ἀνταγωνιστήν | ὁ Μόψος Κάλχαντα |

420 *καταχρύψη a* *Θρᾴκης* inclusi *ἢ* pro *καὶ editor* 421 *πολὺν B* 423 *τῆς δειλῆς εὐτρεπίσθη κοίτης a f* 427 *τὸν Bachm. Anecdd. 225 τῆς Bachm. Lyc. p. 104* *γεννῶν* pro *γεννᾶν editor* 429 inter *ἀνταγωνιστὴν* et *ὁ* inserunt *αὐτοῦ αὐτοῦ ἐκ τῶν μαντευμάτων a* *αὐτὸς ἐκ μαντευμάτων f*

(420) καλύψει πρὸ τοῦ τὸ Τύμφρηστον θεάσασθαι ἀκρωτήριον, (421) τὸν τῷ πατρὶ πολὺ μεμισημένον τῶν ἀνθρώπων, (422) ὅστις αὐτὸν ἐποίησεν τυφλὸν διατρήσας καὶ τρυπήσας τοὺς ὀφθαλμούς, (423) ὁπόταν εἰς νόθον κοίτην περιστερᾶς ἤτοι τῆς Κλυτίας, παλλακίδος τοῦ πατρὸς αὐτοῦ, ἐκοιμήθη. (424) τοὺς τρεῖς δὲ λάρους Κάλχαντα καὶ Ἰδομενέα καὶ Σθένελον θάψουσι τοῦ Κερκάφου ὄρους ἐξοχαί, τουτέστιν ἡ Κολοφών, (425) οὐ μακρόθεν τῶν ποτῶν τοῦ Ἀλέντος ποταμοῦ. (426) τὸν μὲν τοῦ Μολοσσοῦ καὶ Κυπέως καὶ Κοίτου Ἀπόλλωνος κύκνον Κάλχαντα, (427) τῆς θηλείας συὸς πλανηθέντα τῶν τόκων, (428) ὅταν εἰς τὴν τῶν ἀγρίων σύκων μάχην σοφὴν ἄξας (429) τὸν ἀνταγωνιστην Μόψον

σφαλεὶς ἰαύσει τὸν μεμορμένον πότμον·
τὸν δ' αὖ, τέταρτον ἐγγόνων Ἐρεχθέως,
Αἴθωνος αὐτάδελφον ἐν πλασταῖς γραφαῖς·
τρίτον δέ, τοῦ μόσσυνας Ἐκτήνων ποτὲ
στερρᾷ δικέλλῃ βουσκαφήσαντος γόνον,
ὃν Γογγυλάτης εἷλε Βουλαῖος Μυλεὺς
ἀγηλάτῳ μάστιγι συνθραύσας κάρα,
ἦμος ξυναίμους πατρὸς αἱ Νυκτὸς κόραι
πρὸς αὐτοφόντην στρῆνον ὥπλισαν μόρου.
Δοιοὶ δὲ ῥείθρων Πυράμου πρὸς ἐκβολαῖς
αὐτοκτόνοις σφαγαῖσι Δηραίνου κύνες

433 *μόσσυνας d μόσυνας ACDE μόσυνος B* 434 *βουσκαφήσοντος D βουσκαφή[ον]σαντος E* 435 *βουλαῖς B* 436 *ἄγηλάτῳ ABDT ἄγηλάτῳ Ps ἀγηλάτῳ p* 436 *κάραν CE* 438 *αὐτοφόντην ABDEP αὐτοφόντη[ου]ν C²* *μόρου AT μόρον BDEP μόρο[ου]ν C²*

---

(430) σφαλῆναι ποιήσας κοιμηθήσεται | τὸν μεμοιραμένον θάνατον | (431) τὸν Ἰδομενῆα· Διὸς γὰρ Μίνως καὶ Ῥαδάμανθυς, Μίνωος δὲ Δευκαλίων, τοῦ δὲ Ἰδομενεύς | ἐγγόνων τοῦ Διός, παρὰ Ἀθηναίοις καὶ Ἀρκάσιν | (432) τοῦ Ὀδυσσέως λέγει | ἐν τῇ πεπλανημένῃ γραφῇ· ἐν γὰρ τῇ Ὀδυσσείᾳ ἐψεύσατο Αἴθων ἀκούειν καὶ ὀνομάζεσθαι | (433) τὸν Σθένελον, τοῦ τὰ τείχη τῶν Βοιωτικῶν Θηβῶν· Ἐκτῆνες γὰρ οἱ Θηβαῖοι | (434) ἰσχυρᾷ δικέλλῃ | κατασκάψαντος τὸν γόνον | (435) τὰ τρία ἐπώνυμα τοῦ Διός | (436) δασέως τῷ ἐλαύνοντι τοὺς ἀσεβεῖς, ψιλῶς δὲ τῷ ἄγαν ἐλαυνομένῳ κεραυνῷ· οὕτω δὲ νῦν | συντρίψας κεφαλήν | (437) ἡνίκα τοὺς περὶ Ἐτεοκλέα καὶ Πολυνείκην· λέγει δὲ αὐταδέλφους τοῦ ἰδίου πατρὸς Οἰδίποδος | αἱ Μοῖραι ἢ Ἐρινύες | (438) πρὸς τὴν αὐτόχειρα οἰστρικὴν μανίαν | ἐξώπλισαν θάνατον |

(439) Οἱ δύο δέ. περὶ Ἀμφιλόχου καὶ Μόψου | Πύραμος ποταμὸς Παμφυλίας | (440) ἰδιοκτόνοις σφαγαῖς | Ἀπόλλωνος θρέμματα |

431 *ἰδομενῆος B* *περὶ B* 432 *ταῖς πεπλασμέναις γραφαῖς a f* 433 *τοῦ* pro *τὸν Bachm.* *βοιωτοί a* 436 *τῷ ἄγαν* pro *τὸ ἄγαν editor*

(430) σφαλεὶς . . . . (431) καταγόμενον ἐκ τῶν ἀπογόνων τοῦ Διός, (432) τὸν αὐτάδελφον τοῦ Ὀδυσσέως, τοῦ πεπλασμένως καλουμένου Αἴθωνος, Ἰδομενέα. (433) τρίτον δὲ τὸν Σθένελον τὸν υἱὸν τοῦ τὰ τείχη τῶν Θηβῶν ποτε (434) τῇ ἰσχυρᾷ δικέλλῃ σκάψαντος Καπανέως, (435) ὅντινα ὁ Γογγυλάτης καὶ Βουλαῖος καὶ Μυλεὺς Ζεὺς ἀνεῖλε (436) τῇ τοὺς ἀσεβεῖς ἐλαυνούσῃ μάστιγι ἤτοι τῷ κεραυνῷ συνθλάσας τὴν κεφαλήν, (437) ὁπηνίκα τοὺς ἀδελφοὺς Ἐτεοκλέα καὶ Πολυνείκην τοῦ ἰδίου πατρὸς Οἰδίποδος αἱ τῆς Νυκτὸς θυγατέρες Μοῖραι (438) πρὸς πόθον καὶ ἔρωτα τοῦ ἑαυτοὺς ἀποκτεῖναι ὥπλιζε. (439) δύο δὲ οἱ τοῦ Ἀπόλλωνος κύνες, καθὸ μάντεις, ὁ Ἀμφίλοχος καὶ ὁ Μόψος, παρὰ ταῖς ἐκβολαῖς τῶν ῥείθρων τοῦ Πυράμου ποταμοῦ πολεμήσαντες τὴν ἐσχάτην μάχην ταῖς ὑφ' ἑαυτῶν σφαγαῖς ἀνῃρέθησαν

430 lacunam quam indicavi sic explet *V: ὑπνώσει τὸν πεπρωμένον θάνατον. τὸν δὲ τέταρτον τὸν* 433 *τοῦ* pro *τὸν editor* 434 *σκάψαντος* pro *σκάψαντα editor* 438 *ὥπλισαν Bachm.*

δμηθέντες αἰχμάσουσι λοισθίαν βοὴν
πύργων ὑπὸ πτέρναισι Παμφύλου κόρης.
αἰπὺς δ' ἀλιβρὼς ὄχμος ἐν μεταιχμίῳ
Μάγαρσος ἁγνῶν ἠρίων σταθήσεται,
ὡς μὴ βλέπωσι, μηδὲ νερτέρων ἕδρας
δύντες, φόνῳ λουθέντας ἀλλήλων τάφους.
Οἱ πέντε δὲ Σφήκειαν εἰς Κεραστίδα
καὶ Σάτραχον βλώξαντες Ὑλάτου τε γῆν
Μορφὼ παροικήσουσι τὴν Ζηρυνθίαν.
ὃ μὲν πατρὸς μομφαῖσιν ἠλαστρημένος

441 *τὸ δὲ τμηθέντες ἀντιστρόφως εἴρηται s* *αἰχμάσσουσι AE*
442 *πτέρνῃσι V* 443 *ἀλιβρὼς* commendat *T* *ἀλιβρὸς* (ω supra) *E* *ἀλιβρὼς* (ο supra) *C*[2]*D* *ἀλιβρὸς AB* quod praetulit *GHerm. V 241* 444 *μάργασος C* *μέγαρσος E* *μάγαρσος* (ε supra) *D* *σταθμήσεται B* 445 *μηδ' ἐνερτέρων B* 446 *λουθέντας editor* *λουσθέντας ABCE* *λουσθέντες D* 447 *οἳ* pro *εἰς B* *Κεραστίδα Steph.* *Κεραστίαν V* 448 *σέτραχος* v. l. in *S* *γρ. στέγην* marg. *B* cf. *P* 449 *ζηρινθίαν A* *τροιζηνίαν P* utrumque interpr. *S*

(441) μαχόμενοι ἀποθνήσκουσι | ἀντιστρόφως ἐσχάτην κραυγήν | (442) ὑπὸ ταῖς τοῦ πύργου πτέρναις τῆς Παμφύλου θυγατρός | (443) ὁ παραθαλάσσιος δὲ ὑψηλὸς πύργος | ἐν τῷ μεταξύ | (444) πόλις ἡ Ἀθηνᾶς Μαγαρσίας ἱερόν, μέσον τῶν δύο ταφων· οἱ δὲ ἐπίθετον Ἀθηνᾶς καὶ ὄρος Παμφυλίας, οἱ δὲ πόλιν | καθαρῶν τάφων, διὰ τὸ πολεμήσαντας ἀναιρεθῆναι | (445) ὅπως μὴ βλέπωσιν, μηδὲ τὰς καθέδρας τῶν κατωτέρων | (446) ὑποδύντες | τῷ φόνῳ τοὺς ἀλλήλων λούσαντες τύμβους |

(447) Τὴν Κύπρον νῆσον· οὕτω γὰρ ἐκαλεῖτο πρῶτον Σφήκεια | οἱ τὴν ἐξοχὰς πολλὰς ἔχουσαν | (448) ποταμὸς Κύπρου | πελάσαντες | καὶ τὴν τοῦ Ἀπόλλωνος γῆν | (449) τὴν Ἀφροδίτην | κατοικήσουσι τὴν Τροιζηνίαν | (450) ὁ μὲν ταῖς τοῦ πατρὸς μομφαῖς | ἐξελασθείς |

441 *ἀντιστρόφως* om. *B* cf. *s*
444 *καθαίρων B* *ἀναιρεθεῖσας B*
448 *γῆν. γρ. καὶ στέγην a* 449 *κατοικίσουσι Ba*

(442) ὑπὸ ταῖς πτέρναις τῶν πύργων τῆς Παμφυλίας πόλεως. (443) ὑψηλὸς δὲ παραθαλάσσιος πύργος ἐν τῷ μεταξὺ (444) τῆς Μεγαρσίας τῶν ἁγνῶν θυμάτων οἰκοδομήσεται, (445) ὅπως μὴ βλέπωσι, μηδὲ τῶν κατωτέρων καὶ ἐν Ἅιδου τὰς ἕδρας (446) εἰσδύντες, τοὺς ἀλλήλων τάφους τῷ φόνῳ μιανθέντας. (447) οἱ πέντε δέ, Τεῦκρος, Ἀγαπήνωρ, Ἀκάμας, Πράξανδρος, Κηφεύς, εἰς τὴν Σφήκειαν καὶ Κεραστίαν ἤτοι τὴν Κύπρον (448) καὶ τὴν Σάτραχον [καὶ ἐν αὐτῇ πόλει] πελάσαντες καὶ παραγενόμενοι τήν τε γῆν τοῦ Ὑλάτου ἤτοι Ἀπόλλωνος (449) καὶ τὴν Ἀφροδίτην παροικήσουσι τὴν ἐν Ζηρυνθίᾳ τιμωμένην. (450) ὁ μὲν Τεῦκρος, ὁ ἐμὸς συγγενής, τὸ τοῦ πώλου ἤτοι Τελαμῶνος νόθον γέννημα, ἡ τῶν συγγενῶν βλάβη, ταῖς τοῦ πατρὸς Τελαμῶνος μομφαῖς καὶ ὕβρεσιν ἐξελασθήσεται τοῦ διφυοῦς Κέκροπος τῶν σπηλαίων ἤτοι τῆς Σαλαμῖνος καὶ τῶν ὑδάτων τοῦ Βωκάρου ποταμοῦ

444 *θυμάτων* corruptum 'fortasse *μνημάτων*' *Bachm.* an *θηκῶν* ?
448 *καὶ ἐν αὐτῇ πόλει* om. *V*

Κυχρεῖος ἄντρων Βωκάρου τε ναμάτων,
οὑμὸς ξύναιμος, ὡς ὀπατρίου φονεὺς
πώλου, νόθον φίτυμα, συγγενῶν βλάβη,
τοῦ λύσσαν ἐν ποίμναισιν αἰχμητηρίαν
χέαντος, ὃν χάρωνος ὠμηστοῦ δορὰ
χαλκῷ τορητὸν οὐκ ἔτευξεν ἐν μάχῃ,
μίαν πρὸς Ἅιδην καὶ φθιτοὺς πεπαμένον
κέλευθον, ἣν γωρυτὸς ἔκρυψε Σκύθης,
ἦμος καταίθων θύσθλα Κωμύρῳ λέων
σφῷ πατρὶ λάσκε τὰς ἐπηκόους λιτάς,
σκύμνον παρ᾿ ἀγκάλαισιν αἴτα βράσας.

451 *κυχρεῖος BCPs* *κυχρεῖος*[ε ῆ] *A* (*κυχρῆος* in lemmate *A*, in textu *V* *εἰ* in *η* mutavit *V*[2]) *κυχρῆος* (*κυγχρῆος*?) praefert *T* *κυγχρῆος*[ει] *D* *κυγχρεῖος*[η] *E* *Κεγχρῆος* conj. *Cant.* *βουκάρου*[ω] *C*[2] 452 *ὀπατρίου Bachm.* *ὁπατρίου VD* *ὁ πατρίου CE* a se hanc conjecturam excogitatam esse simulat *T* *ὁγαστρίου ΑΒΠs* *φονεὺς ACDEpT* *τροφεὺς BP* 454 *ποίμνησιν A* *ποίμνησιν*[αι] *E* *αἰχμητηρίαν*[α] *C*[2] cf. *Lob. Proll. 373* *αἰχματηρίαν ADE* *αἰχμαστηρίαν B* 455 *λέοντος* pro *χέαντος B* 457 *φθιτὸν B* 459 *κωμύλω*[ρ] *B* 461 *ἀγκάλῃσιν V* *ἀίτα*[ει] *A*[3] *ἀείτα* in textu, *ἀίτα* in scholiis legit scriptum *T* *ἀείτα DE* *ἀίτου*[ει] *C*[2] *ἀίτας S*

---

(451) βασιλεὺς Σαλαμῖνος | ποταμὸς Σαλαμῖνος | (452) ὁ ἐμὸς ἀδελφὸς ὥσπερ ὁ τροφεὺς τοῦ γαστρίου | (453) τοῦ πώλου ξένον γέννημα | τῶν συγγενῶν βλάβη | (454) τοῦ μανίαν ἐν ταῖς ποίμναις πολεμικήν | (455) τοῦ Ἡρακλέους, ὃν ἡ τοῦ ὠμηστοῦ λέοντος δορά | (456) τῷ σιδήρῳ ἄτρωτον | οὐ κατεσκεύασεν ἐν μάχῃ | (457) μίαν πρὸς τὸν Ἅιδην καὶ νεκροὺς κεκτημένον | (458) ὁδόν, ἣν ἡ φαρέτρα | ἔκρυψεν, ἡ Σκυθικὴ φαρέτρα | (459) ἡνίκα καταφλέγων | κλάδους, θύρσους ἢ τὰ θύματα | τῷ Διΐ· ὁ Ζεύς | (460) τῷ ἰδίῳ πατρὶ ἔλεγεν | τὰς ἐπηκόους παρακλήσεις | (461) τὸν Αἴαντα παρὰ ταῖς ἀγκάλαις | τὸν ἐρώμενον καὶ προσφιλῆ κινήσας |

452 *φονεὺς f* 459 'leg. *ὁ Ἡρακλῆς*' *Bachm.*

(452) ὡς τοῦ ὁμογαστρίου φονεὺς Αἴαντος, (454) τοῦ τὴν μανίαν τὴν πολεμικὴν ἐν ταῖς ποίμναις (455) ἐκχέοντος, ὄντινα τοῦ ὠμοφάγου λέοντος ἡ δορὰ (456) τῷ σιδήρῳ τρωτὸν οὐκ ἐποίησεν ἐν τῇ μάχῃ, (457) μίαν πρὸς τὸν Ἅιδην καὶ τοὺς θνητοὺς κεκτημένον (458) ὁδόν, ἣν ἡ Σκυθικὴ φαρέτρα ἔκρυψεν, (459) ὁπηνίκα κατακαίων θύματα ὁ λέων ἤτοι ὁ Ἡρακλῆς τῷ Διί, (460) τῷ ἰδίῳ πατρί, ἔλεγε τὰς εὐπροσδέκτους εὐχὰς καὶ παρακλήσεις, (461) τὸν σκύμνον ἤτοι τὸ βρέφος, Αἴαντα τοῦ φίλου καὶ τοῦ ἐρωμένου Τελαμῶνος παρὰ ταῖς ἀγκάλαις πῆλας καὶ τινάξας.

οὐ γάρ τι πείσει φῖτυν, ὡς ὁ Λήμνιος
πρηστὴρ Ἐνυοῦς, οὔποτ᾽ ἐς φύζαν τραπεὶς
ταῦρος βαρύφρων, δυσμενεστάτου ξένων
ἔτυψε δώρῳ σπλάγχνον ἀρνεύσας λυγρὸν
πήδημα πρὸς κνώδοντος αὐτουργοὺς σφαγάς.
ἐλᾷ δὲ πάτρας τῆλε Τραμβήλου κάσιν,
ὃν ἡ ξύναιμος πατρὸς ἐκλοχεύεται,
δοθεῖσα πρωταίχμεια τῷ πυργοσκάφῳ·
ἣν δή ποτ᾽ ἐν ῥήτραισι δημοτῶν σταθεὶς
γλαυκῷ κελαινὸν δόρπον ὤτρυνεν κυνὶ
στεῖλαι τριπλᾶς θύγατρας ὁ σπείρας βάβαξ,
τῷ πᾶσαν ἅλμῃ πηλοποιοῦντι χθόνα,
ὅταν κλύδωνας ἐξερεύγηται γνάθων,
λάβρῳ σαλεύων πᾶν τρικυμίᾳ πέδον.

462 *φίτυν BCDE* 466 *αὐτουργοῦ p αὐτουργὸς s* 468 *ξύνευνος Ps* 470 *ῥήτρησι V* 471 *ὤτρυνε BCDE* 474 *κλύδωνος BΠ* 475 *λάβρῳ EΠ λαύρῳ B λάβρως AC λαύρως D*

---

(462) οὐ πείσει γὰρ τὸν πατέρα | ὡς ὁ διάπυρος καὶ θερμός | (463) ὁ τῆς Ἐνυοῦς, δαίμονος πολεμικῆς. πρηστήρ | οὐδέποτ᾽ εἰς φυγὴν τραπείς | (464) ὁ Αἴας | τοῦ πολεμίου τῶν ξένων | (465) ἔτρωσε τῷ δόρατι τὸ σπλάγχνον | χαλεπὸν πηδήσας | (466) πήδημα πρὸς ξίφους | αὐτουργοὺς σφαγάς | (467) ἐλαύνει δὲ τῆς πατρίδος πόρρω, τὸν Τεῦκρον λέγει· Τράμβηλος δὲ ὁ υἱὸς Τελαμῶνος | (468) ὃν ἡ τοῦ πατρὸς γυνὴ Θεάνειρα | τεκνοποιεῖται | (469) δοθεῖσα ἐν τοῖς πρώτοις αἰχμαλώτοις | τῷ Τελαμῶνι, τῷ καταβαλόντι πύργον | (470) ἥντινα δήποτε ἐν ἐκκλησίαις δημοτῶν σταθείς | (471) τῷ φοβερῷ κυνὶ τραγὺν δεῖπνον παρεσκεύασεν· γλαυκόν τὸν φοβερόν καταχρηστικῶς ὡς καὶ Ὅμηρος·

γλαυκιόων δ᾽ ἰθὺς φέρεται μένει, ἤν τινα πέφνει
ἀνδρῶν ἢ αὐτὸς φθίεται ὡς πρώτῳ ἐν ὁμήρῳ |

(472) ἀποστεῖλαι τρεῖς θυγατέρας | ὁ σπείρας ῥήτωρ, ἀπὸ τοῦ βάζω· ὁ Φοινοδάμας | (473) τῷ πᾶσαν τῇ θαλάσσῃ πηλοποιοῦντι γῆν | (474) ὅταν ἐκ τῶν τοῦ κλύδωνος | ἐκ τῶν στομάτων λέγηται | (475) τῇ λαύρῳ

463 *πρηστηρος B* 468 *ἀδελφὴ* pro *γυνὴ a* 471 *Υ 170* 474 leg. *ἐρεύγηται? Bachm.*

(462) οὐ γάρ τι πείσει τὸν πατέρα, ὡς ὁ διάπυρος καὶ χαλεπὸς (463) πρηστὴρ τῆς μάχης, οὐδέποτ᾽ εἰς φυγὴν τραπεὶς (464) ὁ βαρύφρων καὶ ἰσχυρόφρων ταῦρος Αἴας, πολεμικώτατος τῶν ξένων (465) ἔπληξε κατὰ τὸ σπλάγχνον, μάτην κυβιστήσας καὶ πηδήσας χαλεπὸν (466) πήδημα πρὸς αὐτουργοῦ ξίφους σφαγάς. (467) ἐλαύνει δὲ τῆς πατρίδος πόρρω τὸν τοῦ Τραμβήλου ἀδελφὸν ὁμοπάτριον Τεῦκρον, (468) ὅντινα ἡ συγγενὴς Ἡσιόνη ἐκ τοῦ πατρὸς Τελαμῶνος γεννᾷ, (469) δοθεῖσα ἀπαρχὴ τοῦ πολέμου τῷ καταστρέφοντι τοὺς πύργους τῆς Τρωάδος. (470) ἥντινα δή ποτε ἐν ταῖς ῥητορείαις τῶν δημοτῶν ἤτοι τοῦ πλήθους σταθεὶς (471) ὁ Φοινοδάμας ῥήτωρ, ὁ τὰς τρεῖς θυγατέρας σπείρας, τῷ φοβερῷ κυνὶ ἤτοι τῷ κήτει ποικίλην τροφὴν διήγειρεν ἀποστεῖλαι καὶ παραδοῦναι, (473) τῷ πᾶσαν τὴν γῆν τῷ ὕδατι τῆς θαλάσσης πηλοποιοῦντι, (474) ὅταν ἐκ στόματος ἐρεύγηται τοῦ κλύδωνος (475) τῇ σφοδρᾷ τρικυμίᾳ σαλεύων πᾶν ἔδαφος.

464 *τῷ τοῦ πολεμικωτάτου V* 465 *δώρῳ ἔπληξεν — V* 467 *ἀδελφὸν* pro *ἀδελφοῦ editor* 474 *ἐρεύγηται* pro *ἐρεύγεται V*

ὃ δ' ἀντὶ πιποῦς σκορπίον λαιμῷ σπάσας
Φόρκῳ κακῆς ὠδῖνος ἔκλαυσεν βάρος,
χρῄζων πυθέσθαι πημάτων συμβουλίαν.
ὁ δεύτερος δὲ νῆσον ἀγρότης μολών,
χερσαῖος αὐτόδαιτος ἐκγόνων δρυὸς
λυκαινομόρφων Νυκτίμου κρεανόμων,
τῶν πρόσθε μήνης φηγίνων πίρνων ὀχὴν
σπληδῷ κατ' ἄκρον χεῖμα θαλψάντων πυρός,
χαλκωρυχήσει καὶ τὸν ἐκ βόθρου σπάσει
βῶλον, δικέλλῃ πᾶν μεταλλεύων γνύθος.
οὗ φῖτυν ἠνάριξεν Οἰταῖος στόνυξ
βουβῶνος ἐν τόρμαισι θρυλίξας δέμας.
ἔγνω δ' ὁ τλήμων σὺν κακῷ μαθὼν ἔπος,

477 *ἔκλαυσε BCDE* 478 post 479 're ita exigente' in interpr. lat. collocavit *Cant.* *χρήζων BCDE* *ξυμβουλίαν ACDE* 479 *δὲ* om. *C* 480 *ἐγγόνων B* lemm. *A* 484 *βάθρου B* 487 *τόρμαισιν A τόρναισι B* *θρυλλίξας ACDE*

σαλεύων πᾶσαν τὴν γῆν τρικυμίᾳ | (476) ὁ δὲ ἀντὶ πιποῦς· ἔστι δὲ ὄρνεον θαλάσσιον | σκορπίον τῷ λαιμῷ ἀποσπάσας | (477) τῷ Νηρεῖ | κακῆς γέννας ἐθρήνησε τὸ βάρος | (478) χρῄζων μαθεῖν βλαβῶν συμβουλίαν | (479) ὁ δεύτερος δ' εἰς νῆσον ἀγρότης ἐλθών· ἔστι δὲ Ἀγαπήνωρ | (480) διὰ τὸ μεσόγειον εἶναι τῆς Πελοποννήσου τὴν Ἀρκαδίαν | ἐπειδὴ βαλανοφάγοι εἰσὶν οἱ Ἀρκάδες | (481) τῶν μεταβληθέντων εἰς λύκους | ὄνομα κύριον. τῶν κρέα νεμομένων | (482) πρὸ σελήνης τῆς Ἀρκαδίας . . . | τὴν ἐκ τῶν δρυῶν τροφήν· ἔστι δὲ καὶ σιτίων | (483) τῇ σποδῷ, τῇ τέφρᾳ | κατὰ τὸ ἄκρον χεῖμα ὀπτῶντες πυρὶ τὰς βαλάνους | (484) χαλκὸν ἐργάσεται ὁ Ἀγήνωρ | καὶ τὸν ἐκ βαράθρου ἀνασπάσει | (485) βῶλον τῇ δικέλλῃ πᾶν κοῖλον μεταλλεύων | (486) οὗτινος τὸν πατέρα ἐφόνευσεν | ὁ ἀπὸ τῆς Οἴτης, ὄρους [ὀδοὺς] Τραχῖνος | πᾶν τὸ εἰς ὀξὺ ἀπολῆγον· νῦν δὲ τὸν ὀδόντα λέγει | (487) ἐν ταῖς βουβῶνος περιφερείαις | συστρέψας, συνελάσας τὸ σῶμα | (488) ἔγνω δ' ὁ ταλαίπωρος σὺν φαύλῳ μαθὼν λόγον |

482 lacunam indicavi 484 *Ἀγαπήνωρ Bachm.* 485 *μεταλλεύων ὄρυγμα μέταλλα ζητῶν a* 486 *ὀδοὺς* inclusi, post *Τραχῖνος* posuit *Bachm.*

(476) ὁ δὲ κύων ἀντὶ ὀρνέου θαλαττίου σκορπίον ἤτοι τὸν Ἡρακλέα τῷ λαιμῷ σπασάμενος (477) τῷ Νηρεῖ τῆς κακῆς ὠδῖνος ἤτοι τοῦ ἐμέτου τὸ βάρος ἔκλαυσε, (478) χρῄζων ἐπερωτῆσαι τῶν συμφορῶν καὶ βλαβῶν συμβουλίαν. (479) ὁ Ἀγαπήνωρ δὲ, ὁ ἀγρότης καὶ χερσαῖος καὶ αὐτόδαιτος, δεύτερος τὴν νῆσον Κύπρον παραγενόμενος, ὁ ἐκ τῶν ἀπογόνων τῆς δρυὸς (481) τῶν εἰς λύκους μεταμορφωθέντων, τῶν κρεανομησάντων τὸν Νύκτιμον, (482) τῶν πρὸ τῆς σελήνης τῆς ἐν Ἀρκαδίᾳ παραγενομένης, δρυίνων ἢ σιτίων τροφὴν (483) τῇ σποδῷ κατὰ τὸν ἄκρον χειμῶνα τοῦ πυρὸς θερμανάντων, (484) πρὸς χαλκοῦ εὕρεσιν ὀρύξει καὶ τὸν ἐκ λάκκου ἐπισπάσεται, (485) τῇ δικέλλῃ πᾶν τὸ ὄρυγμα μεταζητῶν καὶ διερευνῶν. (486) οὗτινος τὸν πατέρα Ἀγκαῖον ἀπέκτεινεν ὁ τῆς Οἴτης ὀξὺς ὀδοὺς τοῦ χοίρου (487) ἐν ταῖς περιφερείαις τοῦ βουβῶνος θραύσας τὸ σῶμα. (488) ἔγνω δὲ ὁ ταλαίπωρος σὺν τῷ κακῷ τραύματι μαθὼν τὸ ἔπος,

485 'deest *βῶλον*' *Bachm.*

ὡς πολλὰ χείλευς καὶ δεπαστραίων ποτῶν
μέσῳ κυλίνδει μοῖρα παμμήτωρ βροτῶν.
ὁ δ' αὐτὸς ἀργῷ πᾶς φαληριῶν λύθρῳ
στόρθυγξ δεδουπὼς τὸν κτανόντ' ἠμύνατο
πλήξας ἀφύκτως ἄκρον ὀρχηστοῦ σφυρόν.
τρίτος δὲ τοῦ μάρψαντος ἐκ κοίλης πέτρας
κέλωρ γίγαντος ὅπλα, τῷ ποτ' εἰς λέχος
λαθραῖον αὐτόκλητος Ἰδαία πόρις
ἡ ζῶσ' ἐς Ἅιδην ἵξεται καταιβάτις,
θρήνοισιν ἐκτακεῖσα, Μουνίχου τοκάς·
ὃν δή ποτ' ἀγρώσσοντα Κρηστώνης ἔχις
κτενεῖ πατάξας πτέρναν ἀγρίῳ βέλει,

489 *δεπαστρέων A δαιπαστραίων B* (prius *αι* mutavit in *ε* B^2) *δεπαστρέων* (supra *αι*) *E* (alterum *ε* delevit E^1) 490 *μέσον D* *παμμήστωρ B* 492 *κτανόντα δ' A κτανοῦντα* (rectius *κτανοῦντ'*) conj. *T κτανόντ'* (supra *οῦν*) C^2 *κτανόντ'* (supra *υν*) *D κτανόντ'*, supra *γρ. κτανοῦντα E* 495 *τῷ* editor *τὸν ABCDΠ τοῦ E* 496 *πάρις B πόρρις TCDE* 497 *ἡ* primus ut videtur *Potter ἢ V* 498 *ἐντακεῖσα D* *Μουνίχου Wilamowitz Aus Kydathen 138 Μουνίτου V*

(489) ὅτι πολλὰ τοῦ χεῖλους καὶ τῶν δεπαστραίων ῥευμάτων, κατὰ τὴν παροιμίαν· πολλὰ ἀναμεταξὺ κύλικος καὶ χείλεος ἄκρου πέλει | (490) μεταξὺ κυλίει ἡ Μοῖρα | ἡ πάντων ἀνθρώπων μήτηρ | (491) ὁ δὲ αὐτὸς τῷ λευκῷ | πᾶς λευκαινόμενος τῷ ἀφρῷ | (492) πᾶν τὸ ὀξύ, νῦν δὲ ὀδούς, ψοφήσας, ἠχήσας | τὸν κτείναντα ἠμύνατο | (493) τρώσας ἀκρατήτως | τὸ ἄκρον στραγγάλιον τοῦ πολεμικοῦ | (494) τὸν Θησέως παῖδα λέγει | τὴν ἐν Τροιζῆνι λέγει. υἱοῦ Πανδίονος (495) υἱός | τοῦ Θησέως λέγει, ὅντινά ποτε εἰς κοίτην | (496) σκοτεινόν, κρύφιον αὐτόκλητος | ἡ Λαοδίκη, ἀλληγορικῶς | (497) ἡ ζῶσα εἰς τὸν Ἅιδην ἀφίξεται καταβαίνουσα | (498) τοῖς κλαυθμοῖς μαρανθεῖσα | ἡ τοῦ Μουνίτου μήτηρ· Μούνιτος δὲ ὄνομα κύριον | (499) ὅντινά ποτε ἀγρεύοντα | τῆς Θρᾴκης· ἔστι δὲ ἀπὸ τόπου. ὁ ἔχις | (500) ἀναιρεῖ δακὼν τὴν πτέρναν τῷ χαλεπῷ ἰῷ |

(489) ὡς πολλὰ ἐν μέσῳ κυλίει ἡ πάντων τῶν ἀνθρώπων μήτηρ Μοῖρα τοῦ χεῖλους καὶ τῶν ἐκ ποτηρίων πομάτων. (491) αὐτὸς δὲ ὁ ὀδούς, περιφραστικῶς ὁ χοῖρος, τῷ λευκῷ περιλευκαινόμενος ἀφρῷ πεπτωκὼς τὸν ἀποκτείναντα (493) τρώσας ἀνιάτως κατὰ τὸ ἄκρον σφυρὸν τοῦ πολεμικοῦ Ἀγκαίου. (494) τρίτος δὲ ὁ Ἀκάμας, ὁ υἱὸς τοῦ γίγαντος Θησέως, τοῦ ἐκ τῆς κοῖλης πέτρας τὰ ὅπλα τοῦ πατρὸς αὐτοῦ Αἰγέως ἀψαμένου καὶ λαβόντος, ὅντινά ποτε εἰς κοίτην (496) λαθραίαν αὐτοπροαίρετος ἡ ἐκ τῆς Ἴδης ἔλαφος, ἀλληγορικῶς δὲ ἡ Λαοδίκη, (497) ἥτις ζῶσα εἰς τὸν Ἅιδην καταβαίνουσα παραγενήσεται, (498) τοῖς θρήνοις ἐκτακεῖσα καὶ ἐκλιποῦσα ἡ μήτηρ τοῦ Μουνίτου· (499) ὅντινα δήποτε ἐν ἀγρῷ ἀναστρεφόμενον τῆς Θρᾴκης ὄφις (500) ἀποκτενεῖ, τὴν πτέρναν τῷ ἀγρίῳ βέλει,

489 *δεπαστρέων a*

491 *περιλευκαινόμενος* pro *παραλ. V* adde *ἔκτεινε* *Bachm.* 500 *βέλει πλήξας V*

ὅταν τεκόντος αἰχμάλωτος ἐς χέρας
ἡ πατρομήτωρ τὸν δνόφῳ τεθραμμένον
βάλῃ νεογνὸν σκύμνον. ᾗ μόνῃ ζυγὸν
δούλειον ἀμφήρεισαν Ἀκταίων λύκοι
τῆς ἁρπαγείσης ἀντίποινα Θυιάδος,
ὧν ὀστράκου στρόβιλος ἐντετμημένος
κόρσην σκεπάζει ῥῦμα φοινίου δορός·
τὰ δ' ἄλλα θριπόβρωτος ἄψαυστος δόμων
σφραγὶς δοκεύει, θάμβος ἐγχώροις μέγα.
ἃ δὴ πρὸς ἄστρων κλίμακας στήσει δρόμον
τοῖς ἡμιθνήτοις διπτύχοις Λαπερσίοις,
οὓς μήποτ', ὦ Ζεῦ σῶτερ, εἰς πάτραν ἐμὴν

503 *βάλῃ* (ει) *B* *βάλλῃ C* *βάλλει* (η) *D*   505 *θυάδος BCDE*   506 *ὀστράκων B*   *ἐκτετμημένος C*   507 *σκεπάζει GHerm. V 241* *σκεπάσει v*   509 *δοκεύσει ACDEΠT*   510 *κλίμακα B*   511 *λαπερσίαις B*   512 *περ* pro *σερ E*

(501) ὅταν τοῦ γεννήσαντος | αἰχμάλωτος εἰς τὰς χεῖρας (502) ἡ τοῦ πατρὸς μήτηρ | τὸν σκότῳ ἀνατραφέντα | (503) πλήξῃ νεωστὶ γεγενημένον σκύμνον | ἥτινι μόνῃ τὸν ζυγόν | λέγει δὲ τῇ Αἴθρᾳ | (504) δούλειον περιέθηκαν | οἱ Διόσκουροι, οἱ τῶν Ἀθηναίων ἅρπαγες | (505) ἀντὶ [τοῦ] τῆς ἁρπαγείσης, δηλονότι Ἑλένης | ἀντέκτισιν. Μαινάδος, Βάκχης | (506) τοῦ ὠοῦ, ἐξ οὗ ἐγένοντο | εἰς δύο τετμημένος | (507) τὴν κεφαλὴν σκεπάσει | φύλαγμα, σκέπασμα τοῦ φοινικοῦ δόρατος | (508) τὰ δὲ λοιπὰ ὑπὸ θριπῶν βρωθεῖσα· ἔστι δὲ θρίψ σκώληξ, ὃς τὰ ξύλα τρώγει | ἀκράτητος τῶν οἰκημάτων | (509) ἡ σφραγὶς ἐπιτηρήσει καὶ φυλάξει | ἔκπληξιν μεγάλην τοῖς ἐγχωρίοις | (510) ἅτινα δὴ πρὸς τῶν ἀστέρων | κλίμακας δρόμον στήσει | (511) τοῖς ἡμιθανέσι τοῖς δύο. ἐπώνυμον τῶν Διοσκούρων τὸ Λαπερσίαι | (512) οὕστινας μηδέποτε, ὦ Ζεῦ σῶτερ, εἰς τὴν ἐμὴν πατρίδα |

503 *πλήξῃ* pro *πλήξει editor*   *λέγει — Αἴθρᾳ* post *Βάκχης 505 Ba* transposuit *Bachm.*   505 *τοῦ* inclusi cf. *s*   507 *φονικοῦ af*   511 *ἐπώνυμα Ba* correxit *Bachm.*

(501) ὅταν αἰχμάλωτος ἡ Αἴθρα, ἡ τοῦ πατρὸς τοῦ Ἀκάμαντος Θησέως μήτηρ, εἰς τὰς χεῖρας τοῦ πατρὸς Ἀκάμαντος [ὅταν ἡ τοῦ πατρὸς τοῦ Ἀκάμαντος Θησέως μήτηρ] τὸν ἐν κρυφεῖ τεθραμμένον (503) νεωστὶ γεγεννημένον σκύμνον ἤτοι τὸν Μούνιτον βάλῃ [βάλῃ εἰς τὰς χεῖρας τοῦ Ἀκάμαντος τοῦ τεκόντος αὐτόν], ἥτινι μόνῃ τῇ Αἴθρᾳ τὸν δουλικὸν ζυγὸν οἱ τῆς Ἀττικῆς λύκοι Διόσκουροι Πράξανδρος καὶ Κηφεὺς περιέθηκαν (505) ἀντὶ τῆς ἁρπαγείσης ὁρμητικῆς καὶ μαινάδος Ἑλένης ποινήν. (506) ὧντινων τοῦ λεπύρου τοῦ ὠοῦ τὸ περιφερὲς διχοτόμημα (507) τὴν κεφαλὴν σκεπάσει, σωτήριον φύλαγμα τοῦ φονικοῦ δόρατος. (508) τὰ δὲ λοιπὰ τῆς Ἀττικῆς ἡ ἐκ τῶν σκωλήκων βεβρωμένη ἀσάλευτος σφραγὶς τῶν οἴκων τηρήσει, θαῦμα ἐγχωρίοις μέγα. (510) ἅτινα δὴ ἔργα πρὸς τὰς τῶν ἀστέρων κλίμακας καὶ ἀναβάσεις τὸν δρόμον στήσει (511) τοῖς δυσὶν ἡμιθνήτοις καὶ ἡμιθέοις, κατ' ἐπωνυμίαν Λαπερσίοις. (512) οὕστινας, ὦ Ζεῦ, μὴ ὤφελές ποτε εἰς τὴν ἐμὴν πατρίδα

501 *ὅταν — μήτηρ* om. *V*   503 *βάλῃ — αὐτὸν* om. *V*   510 *δὴ* pro *δὲ editor*

στείλαις ἀρωγοὺς τῇ δισαρπάγῳ κρεκί,
μηδὲ πτερωτὰς ὁπλίσαντες ὁλκάδας
πρύμνης ἀπ' ἄκρας γυμνὸν αἰψηρὸν πόδα
εἰς Βεβρύκων ῥίψειαν ἐκβατήριον,
μηδ' οἱ λεόντων τῶνδε καρτερώτεροι
ἀλκὴν ἄμικτοι, τοὺς Ἄρης ἐφίλατο,
καὶ δὶ' Ἐνυὼ καὶ τριγέννητος θεὰ
Βοαρμία Λογγᾶτις Ὁμολωὶς Βία.
οὐκ ἄν, τὰ χειρώνακτες ἐργάται διπλοῖ
Δρύμας τε καὶ Πρόφαντος, ὁ Κρώμνης ἄναξ,
ἐλατύπησαν κοιράνῳ ψευδωμότῃ,
ἓν ἦμαρ ἀρκέσειε πορθηταῖς λύκοις
στέξαι βαρεῖαν ἐμβολὴν ῥαιστηρίαν,
καίπερ πρὸ πύργων τὸν Καναστραῖον μέγαν

513 *δυσαρπάγῳ D*, lemm. *A* 516 *ἐκβατήριον editor ἐκβατηρίαν ABDEΠT*
αρ
ἐκβαντηρίαν C ἐκβακτηρίαν d Choerob. 517 *κρατερώτεροι B* 520 *βοαργία B* *λογκάτις D* *λογᾶτις E* *βίᾳ p* 525 *στέξαι Cant. στέρξαι ACDEΠ στέρξω B* 526 *τῶν καναστραίων C*

(513) ἀποστείλαις βοηθούς | τῇ δὶς ἁρπαγείσῃ Ἑλένῃ· ἔστι δὲ κρὲξ ὄρνεον θαλάσσιον ἀναιδές | (514) μηδὲ τὰς ἐπτερωμένας, διὰ τὰς κώπας | ὁπλίσαντες ναῦς· λέγει δὲ τὰ ἱστία | (515) ἀπὸ τῆς ἄκρας πρύμνης γυμνόν, ταχὺν πόδα | (516) εἰς τὴν τῶν Τρώων ῥίψειαν ἔκβασιν, γῆν | (517) μηδὲ οἱ τῶν λεόντων τούτων ἀνδρειότεροι | (518) τὴν δύναμιν ἀμιγεῖς, οὓς ὁ πόλεμος ἠγάπησεν | (519) καὶ ἡ σεμνὴ Ἐνυὼ καὶ ἡ Ἀθηνᾶ | (520) τὰ τρία ἐπώνυμα Ἀθηνᾶς. τὸ δὲ βία ἰσχυρά | (521) οὐκ ἂν ταῦτα οἱ χειροτέχναι, οἱ βάναυσοι. ἐργάται διπλοῖ | (522) ὁ Ἀπόλλων καὶ ὁ Ποσειδῶν | ὁ τῆς Πελοποννήσου βασιλεύς | (523) ἐλάξευσαν, ᾠκοδόμησαν τῷ ψευδωμότῃ | (524) πρὸς μίαν ἡμέραν οὐκ ἀρκέσειε | τοῖς πορθηταῖς λύκοις· λέγει δὲ τοὺς περὶ Ἴδαν | (525) ποθῆσαι τὴν βαρεῖαν ἐμβολὴν φθαρτικήν | (526) καίπερ πρὸ τῶν πύργων τὸν Θρακικόν, ἀπὸ τόπου. ἀκρωτήριον. τὸν μέγαν |

514 *πεπρωμένας B* 515 *πολὺν* pro *πόδα B* 523 *οἰκοδόμησαν B*

(513) βοηθοὺς ἀποστεῖλαι τῇ δισαρπάγῳ, τῇ δὶς ἁρπαγείσῃ κρεκὶ Ἑλένῃ, (514) μηδὲ τὰς ἐπτερωμένας ναῦς εὐτρεπίσαντες (515) ἀπὸ τῆς ἄκρας πρύμνης γυμνὸν ταχὺν πόδα (516) εἰς τὴν τῶν Βεβρύκων καὶ Τρώων ὁρμήσειαν καὶ ἔξοδον ῥίψειαν, (517) μηδὲ οἱ τούτων τῶν λεόντων ἤγουν τῶν Διοσκούρων ἰσχυρότεροι, Ἴδας καὶ Λυγκεύς, (518) οἱ κατὰ τὴν δύναμιν ἀσύγκριτοι, οὕστινας ὁ Ἄρης ἐπόθησε (519) καὶ ἡ ἔνδοξος Ἐνυὼ καὶ ἡ Τριτογένεια θεά (520) καὶ Βοαρμία καὶ Λογγᾶτις καὶ Ὁμολωὶς Ἀθηνᾶ τῇ μάχῃ. (521) οὐκ ἂν ἅτινα οἱ χειροτέχναι δύο ἐργάται, (522) ὁ Δρύμας ἤγουν ὁ Ἀπόλλων καὶ ὁ Πρόφαντος ἤγουν ὁ Ποσειδῶν, ὁ τῆς Κρώμνης χώρας βασιλεύς, (523) ᾠκοδόμησαν τῷ ψευδωμότῃ Λαομέδοντι βασιλεῖ, (524) ἐν μιᾷ ἡμέρᾳ διήρκεσε τοῖς πορθηταῖς λύκοις ἤγουν τῷ Ἴδᾳ καὶ τῷ Λυγκεῖ (525) ὑπομεῖναι τὴν βαρεῖαν καὶ ἀφανιστικὴν προσβολήν, (526) καίπερ πρὸ τῶν πύργων τὸν Καναστραῖον, τὸν μέγαν

515 *ταχὺν πόδα* pro *ταχύποδα Bachm.* 521 *Λογγᾶτις* pro *Λογχάτης V*

ἐγχώριον γίγαντα δυσμενῶν μοχλὸν
ἔχοντα καὶ τὸν πρῶτον εὐστόχῳ βολῇ
μαιμῶντα τύψαι ποιμνίων ἀλάστορα.
οὗ δή ποτ' αἴθων πρῶτα καινιεῖ δόρυ
κίρκος θρασὺς πήδημα λαιψηρὸν δικών,
Γραικῶν ἄριστος, ᾧ πάλαι τεύχει τάφους
ἀκτὴ Δολόγκων εὐπρεπεῖς κεκμηκότι
Μαζουσία προὔχουσα χερσαίου κέρως.
ἀλλ' ἔστι γάρ τις, ἔστι καὶ παρ' ἐλπίδα
ἡμῖν ἀρωγὸς πρευμενὴς ὁ Δρύμνιος
δαίμων Προμανθεὺς Αἰθίοψ Γυράψιος,
ὅς, τὸν πλανήτην ὀρθάνην ὅταν δόμοις
σίνιν καταρρακτῆρα δέξωνται πικρὸν

529 *γρ. καὶ ποινίων S* 530 *καινιεῖ* editor *καινίσει DEp* *καινίσει* (ι η) C^2 *καινήσει AB* *κινήσει PS* 531 *δακῶν B* *δακὼν D* 533 *εὐπρεπὴς CDET* *εὐτρεπὴς Bp* cf. *P* 536 *δρύμιος D* 538 *'Ορθάνην Schneider lex. s. 'Ορθάγης? 'Ορθάγην V* 539 *σίνην* (ι) *D* *σῖνιν B* *σίννιν A* *σίντην CE* *δέξονται C*

(527) οὗ ἀκρωτηρίου πλησίον ᾤκησαν οἱ Γίγαντες | ἀντὶ τοῦ ἀσφάλειαν κατὰ τῶν δυσμενῶν | (528) τὸν Ἕκτορα ἔχοντα καὶ τὸν πρῶτον τῇ εὐστόχῳ βολῇ | (529) προθυμούμενον πλῆξαι τὸν τῶν Ἑλλήνων ᾽λετῆρα | (530) οὗτινος δήποτε ὁ διάπυρος καὶ θερμὸς ἐν πρώτοις τὸ δόρυ κινήσει | (531) τὸν Πρωτεσίλαον λέγει | ἀντὶ τοῦ ἐκβὰς πρῶτον εἰς γῆν καὶ βαλών | (532) Ἑλλήνων κρείσσων ὁ Πρωτεσίλαος | ᾧτινι ἤδη τοὺς τύμβους ἑτοιμάζει | (533) ἔθνος Θρᾳκῶν | εὐτρεπὴς τῷ ἀποθανόντι | (534) ἀκρωτήριον Χερρονήσου· διὰ δὲ τὸ αἱματοειδὲς οὕτω καλεῖται | τοῦ κέρατος, τοῦ ἀκρωτηρίου | (535. 536) ἡμῖν βοηθός. πρᾶος καὶ εὐμενὴς ὁ Ζεύς· ἐπώνυμον γὰρ Διός | (537) ἐπώνυμα Διός | (538) ὅστις τὸν πλανήτην, λέγει δὲ Ἀλέξανδρον | τὸν ἅρπαγα ἢ τὸν ξένον, κατὰ γλῶσσαν, οἱ δὲ τὸν κατωφερῆ, ἢ ἀπὸ τοῦ ὀρθιᾶν. κύριόν ἐστι τοῦ Ἀλεξάνδρου | (539) βλαπτικὸν

533 *εὐπρεπεῖς a εὐπρεπὴς f* 534 leg. *μαστοειδὲς* Bachm. cf. *T* 535 verba poetae repetiit *a* notum illud *οὐ* praefixit a^3 538 *ἤγουν τὸν ἀλέξανδρον ὅταν ἐν τοῖς οἴκοις* pro *οἱ — Ἀλέξανδρον a*

(527) ἐπιχώριον Ἕστορα γίγαντα, κατὰ τῶν πολεμίων μέγαν μοχλόν, (528) ἔχοντα καὶ τὸν πρῶτον προθυμούμενον τῇ εὐστόχῳ βολῇ πλῆξαι, τὸν ὀλετῆρα τῶν ποιμνίων ἤτοι τῶν Ἑλλήνων, Πρωτεσίλαον. (530) ὅτου δήποτε ὁ θερμὸς καὶ θρασὺς κίρκος ἐγκαινίσει τὸ δόρυ, πήδημα ταχὺ βαλών, (532) Ἑλλήνων πολὺ κράτιστος, ᾧτινί ποτε κατασκευάζει τοὺς τάφους (533) ἡ ἀκτὴ τῶν Δολόγκων ἔθνους ἀποθανόντι ηὐτρεπισμένη (534) καὶ ἡ Μαζουσία τὸ ἀκρωτήριον, ἡ προέχουσα τοῦ χερσαίου κέρατος, τῆς Χερρονήσου.

Ἀλλ' ἔστι γάρ τις, ἔστι καὶ παρ' ἐλπίδα ἡμῖν ἀρωγός· (535) ἀλλὰ γὰρ ἔστι τις ἡμῖν καὶ παρ' ἐλπίδα (536) βοηθὸς ὁ πρᾶος θεὸς ὁ Δρύμνιος, ὁ Προμηθεύς, ὁ Αἰθίοψ, ὁ Γυράψιος, Ζεύς, (538) ὅστις ὅταν πλανήτην καὶ ἅρπαγα καὶ βλαπτικὸν καὶ καταρρακτῆρα πικρὸν Ἀλέξανδρον δέξωνται ἐν τοῖς οἴκοις

532 *πολὺ* pro *πολλῶν* editor

οἱ δεινὰ κἀπόθεστα πείσεσθαί ποτε
μέλλοντες ἔν τε δαιτὶ καὶ θαλυσίοις
λοιβαῖσι μειλίσσωσιν ἀστεργῆ Κράγον,
θήσει βαρὺν κολῳὸν ἐν λέσχαις μέσον.
καὶ πρῶτα μὲν μύθοισιν ἀλλήλους ὀδὰξ
βρύξουσι κηκασμοῖσιν ὠκριωμένοι,
αὖθις δ' ἐναιχμάσουσιν αὐτανέψιοι,
ἀνεψιαῖς ὄρνισι χραισμῆσαι γάμους
βιαιοκλῶπας ἁρπαγάς τε συγγόνων
χρήζοντες ἀλφῆς τῆς ἀεδνώτου δίκην.
ἦ πολλὰ δὴ βέλεμνα Κνηκιὼν πόρος
ῥιφέντα τόλμαις αἰετῶν ἐπόψεται,
ἄπιστα καὶ θαμβητὰ Φηραίοις κλύειν.

540 *κἀπόθετα B* *κἀπόθετα* (η *supra*) *C*[2] (idem in lemmate) *κἀπόθητα E*
542 *μειλίξωσιν AB* idem interpr. *s* 543 *μέσον ABCEΠ* *μέσοις D* *μέσαις S*
544 *ἀλλήλων B* 546 *αὔτις AB* *αὔτις* (θ *supra*) *T* 549 *χρήζοντες BCD*
550 *ἢ AP ἡ B ἦ p* *Κνηκιὼν Thes. IV 1672 B Sauppe ep. crit. 69* *Κνηκείων V*
551 *ῥιφθέντα AB* *ἀετῶν D*

καταρρακτῆρα | ὑποδέξωνται τὸν πικρόν | (540) οἵτινες χαλεπὰ καὶ ἅπερ οὐδεὶς ἂν ποθήσειεν, πεισθῆναί ποτε | (541) μέλλοντες ἔν τε εὐωχίᾳ | καὶ ταῖς τῶν καρπῶν ἀπαρχαῖς | (542) ταῖς σπονδαῖς ἐξευμενίσωνται | τὸν μὴ τῇ θυσίᾳ στέρξαντα Δία | (543) ποιήσει μέγαν θόρυβον | ἐν ταῖς συντυχίαις μεταξύ | (544) καὶ ἐν πρώτοις μὲν τοῖς λόγοις | ἀλλήλων ὀργίλως | (545) λυπήσουσιν ταῖς λοιδορίαις, ταῖς ὕβρεσιν | τετραχυμμένοι | (546) πάλιν δὲ ἐμπολεμήσουσιν οἱ αὐτανέψιοι | (547) ταῖς τοῦ Λευκίππου θυγατράσι | βοηθῆσαι τοὺς γάμους | (548) τοὺς βιαίως κλωπεύοντας | καὶ τὰς τῶν συγγόνων ἁρπαγάς | (549) αἰτοῦντες τιμῆς γάμου | τῆς ἄνευ ἕδνων χάριν | (550) ἥτις πολλὰ δὴ βέλη | ποταμὸς Λακωνικῆς | (551) ῥιφθέντα ταῖς τόλμαις τῶν ἀετῶν ἐπόψεται | (552) ἄπιστα καὶ θάμβους ἄξια | τοῖς Μεσσηνίοις ἀκούειν· ἔστι δὲ ὄνομα ἔθνους |

544 *ὀργίλως καὶ ὑβριστικῶς a*

(540) οἱ περὶ τὸν Ἴδαν καὶ Διόσκουροι ⟨καὶ⟩ ἐν τῇ εὐωχίᾳ καὶ τῇ κομιδῇ τῶν καρπῶν ταῖς σπονδαῖς ἐξιλεῶνται τὸν μὴ στέρξαντα Κράγον ἤτοι τὸν Δία οἱ χαλεπὰ καὶ μισητὰ παθεῖν μέλλοντες (543) θήσει βαρὺν θόρυβον ἐν ταῖς συντυχίαις μέσον. (544) καὶ πρῶτα μὲν τοῖς λόγοις ἀλλήλους ὀργίλως (545) βρύξουσι, ταῖς λοιδορίαις καὶ ὕβρεσι τετραχυμένοι, (546) δεύτερον δὲ πολεμήσουσιν οἱ αὐτανέψιοι, Τυνδάρεω υἱοὶ καὶ Ἀφαρέως τῶν ἀδελφῶν, (547) ταῖς ἀνεψιαῖς ἤτοι ταῖς τοῦ θείου Λευκίππου θυγατράσιν ὄρνισι, τουτέστι Φοίβῃ καὶ Ἱλαείρᾳ, βοηθῆσαι τοὺς βιαίους καὶ κλωπιμαίους καὶ ἁρπακτικοὺς τῶν συγγενῶν γάμους (549) αἰτοῦντες. (550) ἥτινι δὴ πολλὰ βέλη ὁ ποταμὸς Κνηκείων ταῖς ⟨τόλμαις⟩ τῶν [μεστῶν] ἀετῶν ⟨ῥιφέντα⟩ ἤτοι τῶν περὶ τὸν Ἴδαν καὶ Λυγκέα καὶ Διοσκούρους θεάσεται, (552) ἄπιστα καὶ θαυμαστὰ τοῖς Μεσηνιακοῖς ἀκούειν· Φηραὶ γὰρ πόλις τῆς Μεσηνιακῆς, ἀφ' ἧς οἱ περὶ Ἴδαν καὶ Λυγκέα.

540 *καὶ* addidi *ἐξιλεῶνται* pro *ἐξιλεοῦνται V* 546 *Τυνδάρεω* pro *Τυνδάρεως editor* 550 *ἥτις V* *τόλμαις* add. *V* *μεστῶν* om. *V* *ῥιφέντα* add. *V*

ὃ μὲν κρανείᾳ κοῖλον οὐτάσας στύπος
φηγοῦ κελαινῆς διπτύχων ἕνα φθερεῖ,
λέοντα ταύρῳ συμβαλόντα φύλοπιν.
ὃ δ' αὖ σιγύμνῳ πλευρ' ἀναρρήξας βοὸς
κλινεῖ πρὸς οὖδας. τῷ δὲ δευτέραν ἐπὶ
πληγὴν ἀθαμβὴς κριὸς ἐγκορύψεται,
ἄγαλμα πήλας τῶν Ἀμυκλαίων τάφων.
ὁμοῦ δὲ χαλκὸς καὶ κεραύνιοι βολαὶ
ταύρους καταξανοῦσιν, ὧν ἀλκὴν ἑνὸς
οὐδ' ὁ Σκιαστὴς Ὀρχιεὺς Τιλφούσιος
ἐμέμψατ', ἐν χάρμαισι ῥαιβώσας κέρας.
καὶ τοὺς μὲν Ἅιδης, τοὺς δ' Ὀλύμπιοι πλάκες
παρ' ἦμαρ αἰεὶ δεξιώσονται ξένους,

553 *κρανία B κρανεία* (ω) *C²* *κρανείῳ D* 558 *ἀθαμης B* *ἐκκορύψεται C*
562 *Τιλφούσιος Cant.* *Τελφούσιος V* 563 *ῥεμβώσας C*

---

(553) ὁ μὲν τῷ δόρατι | τὸ κοῖλον στέλεχος ἢ πρέμνον ἢ κορμὸν τρώσας | (554) δρυὸς τραχείας | ἐκ τῶν δύο ἕνα φθερεῖ | (555) ταύρῳ, τῷ Λυγκεῖ, διὰ τὸ ὀξυδερκές | συμβαλόντα μάχην | (556) ὁ δ' αὖ ἀκοντίῳ ὁλοσιδήρῳ, ὁ Πολυδεύκης, τοῦ Λυγκέως | τὰ πλευρὰ τῷ δόρατι ἀναρρήξας | (557) ῥίψει πρὸς ἔδαφος | ἔξωθεν δεῖ λαβεῖν τὸ ὡς· λέγει δὲ τὸν Ἴδαν | (558) τὴν πληγὴν ὁ ἄφοβος καὶ ἰσχυρὸς κριός | κερατίσει | (559) τὸ ἄγαλμα κινήσας | τῶν Ἀμυκλαίων μνημείων | (560) ὁμοῦ δὲ ὁ χαλκὸς καὶ αἱ κεραύνιοι βολαί | (561) τοὺς ταύρους ἀναιρήσουσιν | ὧν τὴν ἑνὸς δύναμιν | (562) οὐδ' ὁ Ἀπόλλων, παρὰ Λάκωσιν | ἐπώνυμα Ἀπόλλωνος παρὰ Βοιωτοῖς | (563) ἐμέμψατο ἐν ταῖς μάχαις | τείνας τὸ τόξον, ἀφ' οὗ πολεμήσας | (564) καὶ τοὺς μὲν ὁ Ἅιδης, τοὺς δὲ αἱ Ὀλύμπιοι πλάκες | (565) ὑποδέξονται τοὺς ξένους |

---

556 *οἱ δ' B* 565 *ὑποδέξωνται B*

(553) ὁ μὲν Ἴδας τῷ ἀπὸ κρανείας δόρατι ὑπὸ τὸ κοῖλον στέλεχος τῆς βαθείας δρυὸς τρώσας τὸν ἕνα ἐκ δυοῖν λέοντα, τὸν Κάστορα, τῷ ταύρῳ ἤτοι τῷ Ἴδᾳ συμβαλόντα πόλεμον διαφθερεῖ. (555) ὁ δὲ Πολυδεύκης τῷ ὁλοσιδήρῳ ἀκοντίῳ τὰ πλευρὰ τοῦ βοὸς ἤτοι τοῦ Λυγκέως (557) κλινεῖ πρὸς τὴν γῆν. ἐπὶ δὲ τῷ Πολυδεύκῃ δευτέραν (558) πληγὴν ὁ καταπληκτικὸς κριός, τουτέστιν ὁ Ἴδας, βαλεῖ (559) στήλην ῥίψας ἐκ τῶν Ἀμυκλαίων τάφων. (560) ὁμοῦ δὲ ὅ τε χαλκὸς καὶ αἱ βολαὶ τῶν κεραυνῶν (561) τοὺς ταύρους ἤτοι τοὺς Τυνδαρίδας καὶ Ἀφαρητιάδας κατακόψουσιν, ὧντινων τοῦ ἑνὸς τὴν δύναμιν (562) οὐδ' ὁ Σκιαστὴς καὶ Ὀρχιεὺς Τελφούσιος Ἀπόλλων (563) ἐμέμψατο ἐν ταῖς μάχαις, ἀλλ' ἐθαύμασε κυκλώσας καὶ γεμίσας τὸ τόξον. (564) καὶ τοὺς μὲν ὁ Ἅιδης, τοὺς δὲ αἱ ἐκ τοῦ Ὀλύμπου πλάκες ἤτοι οἱ κεραυνοὶ (565) παρὰ μίαν ἡμέραν ἀεὶ δεξιώσονται τοὺς ξένους,

---

553 'auctor paraphraseos scripserat: *τὸν ᾱ τῶν* (sive *ἐκ*) *β̄' Bachm.* *τὸν πρῶτον καὶ δεύτερον AV* 555 'deest *ἀναρρήξας*' *Bachm.* 562 *γεμίσας* non sanum. fortasse *κάμψας* quod praebet *s* 564 *κεραυνοί* 'leg. *οὐρανοί*' *Bachm.* 565 *μίαν ἡμέραν* pro *μιᾷ ἡμέρᾳ V*

φιλαυθομαίμους, ἀφθίτους τε καὶ φθιτούς.
καὶ τῶν μὲν ἡμῖν εὐνάσει δαίμων δόρυ,
βαιόν τι μῆχαρ ἐν κακοῖς δωρούμενος·
ἄλλων δ' ἄπλατον χειρὶ κινήσει νέφος,
ὧν οὐδ' ὁ Ῥοιοῦς Ἶνις εὐνάζων μένος
σχήσει, τὸν ἐννέωρον ἐν νήσῳ χρόνον
μίμνειν ἀνώγων θεσφάτοις πεπεισμένους,
τροφὴν δ' ἀμεμφῆ πᾶσι τριπτύχους κόρας
ἴσκων παρέξειν, Κυνθίαν ὅσοι σκοπὴν
μίμνοντες ἡλάσκωσιν Ἰνωποῦ πέλας,
Αἰγύπτιον Τρίτωνος ἕλκοντες ποτόν.
ἃς δὴ Πρόβλαστος ἐξεπαίδευσε θρασὺς
μυληφάτου χιλοῖο δαιδαλευτρίας
ἕρπιν τε ῥέζειν ἠδ' ἀλοιφαῖον λίπος,
οἰνοτρόπους Ζάρηκος ἐκγόνους φάβας.

567 *τοὺς B* 569 *ἄπλαστον C* 570 *οὐδὲ* pro *οὐδ' ὁ B* 573 *τ' D* 574 *ὅσοι* [β] *κυνθίαν* [α] *C*² 575 *ἠλάσκουσιν V* 576 *αἰγυπτίου* [ν] *C* *ἕλκοντες ABDP ἕλκοντος Ep ἕλκοντες* [ος] *T ἕλκοντος* [ες] *C* 577 *Πρόκλαστος* v. l. in *S* 578 *δαιταλουργίας B δαιταλευτρίας C γρ. δαιταλουργίας* marg. *C*² 580 *Ζάρηκός τ' p*

---

(566) τοὺς φιλοῦντας τοὺς ἀδελφούς | ἀφθάρτους τε καὶ φθαρτούς | (567) καὶ τούτων μὲν ἡμῖν κοιμήσει ὁ δαίμων ξίφος | (568) μικρόν τι μηχάνημα | ἐν ταῖς δειναῖς μάχαις δωρούμενος | (569) τῶν δὲ λοιπῶν ἀπροσπέλαστον | τῇ χειρὶ νέφος κινήσει | (570) ὧντινων οὐδὲ ὁ Ῥοιοῦς· ἔστι δὲ ὄνομα κύριον Ῥοιώ | υἱός, κοιμίζων τὴν βασιλείαν | (571) ἀνθέξεται τὸν ἐνναετῆ χρόνον | ἐν τῇ νήσῳ χρόνον | (572) μένειν κελεύων ταῖς μαντείαις πεπεισμένους | (573) ἀμεμφῆ δὲ τροφὴν πᾶσι τρεῖς κόρας | (574) λέγων παρέξειν | Κύνθος ὄρος Δήλου. ὁπόσοι τὴν κατασκοπήν | (575) μένοντες διατρίβουσιν πλανῶντες πλησίον Ἰνωποῦ, ποταμοῦ Δήλου | (576) τοῦ Νείλου σύροντες τὸ ῥεῦμα | (577) ἃς δὴ ὁ Διόνυσος ὁ θρασὺς ἐξεπαίδευσεν | (578) τῆς μυληφάτου τροφῆς μαγειρείας | (579) τὸν οἶνον θύειν. Αἰγύπτιοι | τὸ ἔλαιον | (580) ἐπώνυμον τῶν τριῶν ἀδελφῶν Οἰ-

571 alterum *χρόνον* om. *Bachm.* 575 *πλανῶντες* om. *B* 578 *μαγειραίνας Bachm.*

(566) φιλαδέλφους, ἀθανάτους τε καὶ θνητούς. (567) καὶ τούτων μὲν ἡμῖν ὁ θεὸς τὸ δόρυ κοιμήσει, (568) μικρόν τι μηχάνημα ἐν τοῖς κακοῖς χαριζόμενος· (569) τῶν δὲ λοιπῶν Ἑλλήνων ἀπροσπέλαστον καὶ πολὺ τῇ χειρὶ κινήσει νέφος, (570) ὧντινων οὐδὲ ὁ τῆς Ῥοιοῦς υἱὸς Ἶνις κοιμίζων τὴν δύναμιν (571) κατάσχῃ τὸν ἐνναετῆ χρόνον ἐν τῇ νήσῳ (572) μένειν προτρεπόμενος ταῖς θεοπροπίαις καὶ μαντείαις πεισθέντας, (573) τροφὴν δὲ ἄφθονον καὶ πολλὴν πᾶσι λέγων παρέξειν τὰς τρεῖς θυγατέρας τήν τε Οἰνὼ καὶ Σπερμὼ καὶ τὴν Ἐλαΐδα, ὁπόσοι τὴν ἐξοχὴν τοῦ Κυνθίου ὄρους (575) μένοντες διατρίβουσιν ἐγγὺς τοῦ Ἰνωποῦ ποταμοῦ (576) τοῦ τὸ Αἰγύπτιον τοῦ Νείλου ἕλκοντος πόμα. (577) ἅστινας δὴ ὁ Πρόβλαστος καὶ θρασὺς Διόνυσος ἐδίδαξε (578) τῆς Δημητριακῆς τροφῆς κατασκευαστρίας (579) οἶνόν τε ἐξεργάζεσθαι καὶ τὸ ἀλειφόμενον ἔλαιον, (580) τὰς οἰνοτρόπους τοῦ Ζάρηκός τε ἀπογόνους φάβας ὄρνιθας.

αἵ καὶ στρατοῦ βούπειναν ὀθνείων κυνῶν
τρύχουσαν ἀλθανοῦσιν, ἐλθοῦσαί ποτε
Σιθῶνος εἰς θυγατρὸς εὐναστήριον.
καὶ ταῦτα μὲν μίτοισι χαλκέων πάλαι
στρόμβων ἐπιρροιζοῦσι γηραιαὶ κόραι.
Κηφεὺς δὲ καὶ Πράξανδρος, οὐ ναυκληρίας
λαῶν ἄνακτες, ἀλλ' ἀνώνυμοι σποραί,
πέμπτοι τέταρτοι γαῖαν ἵξονται θεᾶς
Γόλγων ἀνάσσης, ὧν ὃ μὲν Λάκων' ὄχλον
ἄγων Θεράπνης, θἄτερος δ' ἀπ' Ὠλένου
Δύμης τε Βουραίοισιν ἡγεμὼν στρατοῦ.
Ὁ δ' Ἀργύριππα, Δαυνίων παγκληρίαν,
παρ' Αὐσονίτην Φύλαμον δωμήσεται,

587 *σποραί* (ᾶς supra) *C* 590 *θ' ἅτερος CD* 591 *δύμνης B* *βουραίοισιν* (ε supra) *E* *βουραίεισιν C* 592 *Ἀργύριππα Mein.* ad *Steph. Αὔσων* cf. *p* *ἀργυρίππα A* (item in lemm.) *ἀργυρίππαν BCDE* 593 *αὐσονίτην BEP Steph.* *αὐσονίτιν A* *αὐσονῖτιν CD* *Φύλαμον Lob. proll. 156* *Φυλαμὸν V* *φυλαγμὸν C* *δομήσεται ACDE*

νοῦς, Σπερμοῦς, Ἐλαΐδος | ὀνόματα κύρια. ἀπογόνους φάβας· ἔστι δὲ εἶδος ὀρνέου· ἡ δὲ εὐθεῖά ἐστι φάψ | (581) αἵτινες καὶ τοῦ στρατοῦ τὴν μεγάλην λιμόν. τὸ βούπειναν ἐπιτατικῶς | τῶν ξένων κυνῶν | (582) φθειρομένην θεραπεύσουσιν ἢ φθείρουσαν ἰάσονται | παραγενόμεναί ποτε | (583) ὄνομα κύριον υἱοῦ Ἄρεως. κοιτάριον. ἡ δὲ εὐθεῖά ἐστι Σιθών | (584) καὶ ταῦτα μὲν μίτοις ἤγουν μοίραις | τῶν πάλαι χαλκέων | (585) τῶν ἀτράκτων ἐπινήθουσιν | αἱ Μοῖραι | (586) ὀνόματα κύρια. οὐ τῆς ναυκληρίας | (587) τῶν λαῶν βασιλεῖς, ἄρχοντες. ἀφανεῖς τῷ γένει | (588) πέμπτοι τέταρτοι εἰς τὴν τῆς θεᾶς γῆν ἀφίξονται | (589) ἀπὸ μέρους τῶν Κυπρίων. τῆς βασιλίσσης | ὧν ὁ μὲν τῶν Λακώνων τὸ πλῆθος | (590) ἀπάγων. πόλεως Λακωνικῆς | ὁ δὲ ἕτερος ἀπὸ τῆς Ὠλένου· ἔστι δέ πόλις Ἀχαΐας | (591) ὄνομα κύριον. πόλις δὲ Ἀχαΐας τὰ Βοῦρα | ἄρχων τοῦ στρατοῦ |

(592) Πόλις Ἰταλίας ἡ Ἀργυρίππα | ἔθνος Ἰταλίας οἱ Δαῦνοι | (593) παρὰ τὸν Ἰταλικόν· Αὔσονες γὰρ οἱ Ἰταλοί | ἔθνος Ἰταλίας οἱ Φύλαμοι |

581 *ἐπιτατικῶς* pro *ἐπιτατικὸν editor* 591 *τοῦ βορά B* *τοῦ βορρᾶ a* 592 *δαύνιοι a*

(581) αἵτινες καὶ τοῦ στρατοῦ τὴν ἰσχυρὰν βούπειναν τῶν ξένων κυνῶν (582) καταπονοῦσαν ἰάσονται, παραγενόμεναί ποτε (583) εἰς τὸ κοιμητήριον τῆς θυγατρὸς τοῦ υἱοῦ τοῦ Ἄρεος Σιθῶνος, ἤγουν τὸ Ῥοίτειον.

Καὶ ταῦτα μὲν μίτοισι χαλκέων πάλαι στρόμβων ἐπιρροιζοῦσι γηραιαὶ κόραι· (584) καὶ ταῦτα μὲν μίτοισι καὶ κλώσμασι τῶν χαλκῶν ἀτράκτων (585) ἐπινηθήσουσιν αἱ παλαιαὶ κόραι ἤτοι αἱ Μοῖραι· (586) ὁ Κηφεὺς δὲ καὶ ὁ Πράξανδρος, οὐ ναυκληρίας (587) λαῶν βασιλεῖς, ἀλλ' ἀκατονόμαστοι γενεταί, (588) πέμπτοι καὶ τέταρτοι ⟨εἰς⟩ τὴν γῆν παραγενήσονται τῆς θεᾶς Ἀφροδίτης, (589) τῆς βασιλίσσης τῶν Γόλγων, ὧν ὁ μὲν Πράξανδρος Λακώνων πλῆθος (590) ἄγων ⟨ἀπὸ⟩ τῆς Θεράπνης πόλεως, ὁ δὲ ἕτερος ἤγουν ὁ Κηφεὺς ἀπὸ τῆς πόλεως Ὠλένης (591) καὶ τῆς φυλῆς τῶν Βουραίων καὶ Ἀχαιῶν τοῦ στρατοῦ ἡγεμών. (592) Ὁ δὲ Διομήδης παρὰ τὴν παγκληρίαν τῶν Δαυνιτῶν, τὸ Ἰταλικὸν ἔθνος, τὴν Ἀργύριππα πόλιν, τουτέστι τὸ Ἄργος τὸ ἵππειον, οἰκοδομήσει

588 *πέμπτοι καὶ τέταρτοι* pro *πέντε καὶ τέσσαρες* recepi ex *s* *εἰς* add. *V* 590 *ἀπὸ* add. *V* *Ὠλένης* pro *ἐλένης V*

πικρὰν ἑταίρων ἐπτερωμένην ἰδὼν
οἰωνόμικτον μοῖραν, οἳ θαλασσίαν
δίαιταν αἰνέσουσι πορκέων δίκην,
κύκνοισιν ἰνδαλθέντες εὐγλήνοις δομήν.
ῥάμφεσσι δ' ἀγρώσσοντες ἐλλόπων θοροὺς
φερώνυμον νησῖδα νάσσονται πρόμου,
θεατρομόρφῳ πρὸς κλίτει γεωλόφῳ
ἀγυιοπλαστήσαντες ἐμπέδοις τομαῖς
πυκνὰς καλιάς, Ζῆθον ἐκμιμούμενοι.
ὁμοῦ δ' ἐς ἄγραν κἀπὶ κοιταίαν νάπην
νύκτωρ στελοῦνται, πάντα φεύγοντες βροτῶν
κάρβανον ὄχλον, ἐν δὲ γραικίταις πέπλοις
κόλπων ἰαυθμοὺς ἠθάδας διζήμενοι,
καὶ κρῖμνα χειρῶν κἀπιδόρπιον τρύφος

596 *αἰνήσουσι V* 598 *ῥάμφεσσι Ald. ῥάμφεσι ACDE ῥάφαισι B ἐλλείπων* C^2 601 *ἐν πέδοις C* 603 *κἀπικοιταίαν CD* 604 *τελοῦνται BP* 605 *κάρβανον* in litura *A* 607 *κρῖμνα Lob. Parall. 115. 42 κρίμνα V*

---

(594) τὴν πικρὰν τῶν ἑταίρων ἐπτερωμένην θεασάμενος | (595) τὴν οἰωνόμικτον μοῖραν, οἵτινες θαλασσίαν | (596) τὴν τροφὴν ἐπαινέσουσιν δίκην κυρτῶν ἢ ἁλιέων | (597) κύκνοις ὁμοιωθέντες | εὐοφθάλμοις τὸ σῶμα | (598) ῥύγχοις, χείλεσι δ' ἀγρεύοντες | τῶν ἰχθύων τὸ σπέρμα | (599) τὴν φερώνυμον νῆσον | οἰκήσουσι τοῦ προμάχου, τὴν Διομήδειαν νῆσον. ἀπὸ Διομήδους | (600) δίκην θεάτρου ὄντι | ἡμικυκλίῳ. ὑψηλῷ χώρῳ | (601) ἀγυιὰς πλάσαντες, ποιήσαντες | ἑδραίοις τομαῖς | (602) πυκνὰς νεοσσιὰς καὶ φωλεούς | ἐπειδὴ ὁ Ζῆθος καὶ ὁ Ἀμφίων τὰς Θήβας τὰς Αἰγυπτίας ἐτείχισαν | (603) ὁμοῦ δὲ εἰς θήραν | καὶ ἐπὶ κοιταίαν νάπην | (604) δι' ὅλης νυκτὸς τελοῦνται | πάντα τὰ τῶν ἀνθρώπων διαδιδράσκοντες | (605) βάρβαρον πλῆθος | ἐν δὲ τοῖς Ἑλληνικοῖς ἱματίοις | (606) κόλπων κοίτας | τοὺς ἐξ ἔθους ζητοῦντες | (607) καὶ τὰ ἀποστάζοντα τοῦ κυκεῶνος

596 *κυρτων* (circumflexus supra *ω* erasus) *B κύρτων af κυρτέων Bachm.* 598 *ῥύγχεσι Bachm. χείλεσσιν B* 602 *ἐν βοιωτίᾳ* pro *Αἰγυπτίας a*

(594) πικρὰν καὶ χαλεπὴν τὴν οἰωνόμικτον τῶν φίλων μοῖραν ἐπτερωμένην θεασάμενος, οἵτινες τὴν θαλασσίαν (596) διατριβὴν ἐπαινέσουσι καὶ ποθήσουσιν ἁλιέων δίκην, (597) κύκνοις εὐοφθάλμοις τὸ σῶμα ὁμοιωθέντες. (598) τοῖς χείλεσι δὲ ἀγρεύοντες τὰ ἔκγονα τῶν ἰχθύων (599) τὴν ἐπώνυμον νησίδα τοῦ βασιλέως καὶ ἄρχοντος Διομήδους κατοικήσουσι (600) θεάτρῳ ἐοικυῖαν πρὸς ἡμικυκλίῳ τῷ ὑψηλῷ (601) ἀγυιὰς ποιήσαντες ταῖς ἀσφαλέσι κατατομαῖς (602) ἀλλεπαλλήλους νεοσσιάς, τὸν Ζῆθον ἐκμιμούμενοι. (603) ὁμοῦ δὲ εἰς τὴν ἄγραν καὶ εἰς τὴν τῆς κοίτης νάπην ἤτοι ἐξοχήν (604) ἐν νυκτὶ γένωνται, πάντα φεύγοντες ἀνθρώπων (605) βάρβαρον ὄχλον, ἐν δὲ Ἑλληνικοῖς ἱματίοις (606) τῶν κόλπων ἐπαύλεις τὰς εἰθισμένας ζητοῦντες (607) καὶ σταλάγματα κυκεώνων καὶ ἀπὸ χειρῶν καὶ ἀπὸ τροφῆς κλάσματα

μάζης σπάσονται προςφιλὲς κνυζούμενοι,
τῆς πρὶν διαίτης τλήμονες μεμνημένοι.
Τροιζηνίας δὲ τραῦμα φοιτάδος πλάνης
ἔσται κακῶν τε πημάτων παραίτιον,
ὅταν θρασεῖα θουρὰς οἰστρήσῃ κύων
πρὸς λέκτρα. τύμβος δ' αὐτὸν ἐκσώσει μόρου
Ὁπλοσμίας, σφαγαῖσιν ηὐτρεπισμένον.
κολοσσοβάμων δ' ἐν πτυχαῖσιν Αὐσόνων
σταθεὶς ἐρείσει κῶλα χερμάδων ἔπι
τοῦ τειχοποιοῦ, γαπέδων ἀμοιβέως,
τὸν ἑρματίτην ναὸς ἐκβαλὼν πέτρον.
κρίσει δ' Ἀλαίνου τοῦ κασιγνήτου σφαλεὶς

609 *τλήμονος B* 611 *τί ἐπημάτων A* (*τί ἐ A²*, *π* in litura *A³ κακῶν πημάτων V τε* inseruit *V³*) 617 *δαπέδων E λαπέδων Dind. Phil. XX 53* 618 *νηὸς V τὸν ἑρματίτην ναὸς* om. *B ἐμβάλλων BP ἐμβαλὼν p* 619 omissum supra ante 607 inter scholia superiora et textum scripsit *A*

ἐκ τῶν χειρῶν | καὶ τὸ ἐπιδείπνιον. τρύφος δὲ τὸ κλάσμα. Ὅμηρος·
διατρυφὲν ἔκπεσε χειρός |
(608) μάζα, ἄρτος, φύραμα | προσφιλές. ἀσήμως φθεγγόμενοι | (609) τῆς προτέρας διατριβῆς οἱ τάλανες μνησθέντες | (610) τῆς Ἀφροδίτης δὲ τὸ τραῦμα ... | (611) ἔσται τῶν κακῶν βλαβῶν παραίτιον | (612) ὅταν ἡ θρασεῖα καὶ κατωφερὴς πόρνη | μανῇ ἡ ἀναιδής, ἡ Αἰγιάλεια | (613) πρὸς κοίτας. ὁ βωμὸς δὲ αὐτὸν ἐκ τοῦ θανάτου σώσει | (614) τῆς Ἀθηνᾶς ἐν ταῖς σφαγαῖς | ἑτοιμασμένον | (615) ἐπὶ κολοσσοῦ βεβηκώς· κολοσσὸς δέ ἐστιν ὁ ἀνδριάς | ἐν ταῖς τῶν Ἰταλῶν πτυχαῖς | (616) σταθεὶς ἐπερεισθήσεται τὰ σκέλη | ἐπὶ χειροπληθῶν λίθων | (617) τοῦ τὰ τείχη ποιοῦντος | τῶν ἐδάφων τοῦ Ποσειδῶνος. (618) τὸν ἰσοῦντα τὴν ναῦν λίθον. ἢ τὴν ἄγκυραν λέγει | ἐμβάλλων λίθον | (619) τῇ δὲ κρίσει τοῦ Ἀλαίνου· ἔστι δὲ ἀδελφὸς Διομήδους νόθος | τοῦ ἀδελφοῦ ἀποσφαλείς |

607 *Γ 363* 610 lacunam indicavit reliqua linea post lemma *φοιτάδος πλάνης* vacua relicta *B* 612 *ἡ Αἰγιάλεια* in marg. *B* signo appicto quo ad *κύων* referretur 613 *σώσει* pro *σώσῃ editor* 616 *ταθεὶς B* 617 *τῶν — Ποσειδῶνος* om. *B*

(608) ἄρτου λήψονται προσφιλὲς ἀσήμως φθεγγόμενοι, (609) τῆς πάλαι διαίτης οἱ ταλαίπωροι μεμνημένοι. (610) τῆς Τροιζηνίας δὲ ἤτοι τῆς Ἀφροδίτης τὸ τραῦμα τῆς τε ἐκ τόπου εἰς τόπον φοιτήσεως καὶ πλάνης (611) καὶ τῶν κακῶν βλαβῶν ἔσται τῷ Διομήδει αἴτιον, (612) ὅταν ἡ θρασεῖα πόρνη καὶ ἀναιδὴς πρὸς κοίτας Ἱππολύτου ἐκμανῇ Αἰγιάλεια. ὁ ναὸς δὲ αὐτὸν τῆς Ὁπλοσμίας ἤτοι τῆς Ἀθηνᾶς τοῦ θανάτου ἐκσώσει, ταῖς σφαγαῖς ὄντα ἑτοῖμον. (615) ἐπὶ κολοσσοῦ δὲ βεβηκὼς ἐν ταῖς πλαξὶ τῶν Ἰταλῶν (616) σταθεὶς στηρίξει τὰ σκέλη ἐπὶ λίθων, (617) τοῦ τειχοποιοῦ, τῶν ἐδαφῶν τοῦ ἀμοιβέως, ἤτοι Ποσειδῶνος, (618) τὸν ἐξισωτὴν τῆς νεὼς ἐμβαλὼν λίθον. (619) τῇ κρίσει δὲ τοῦ ἀδελφοῦ Ἀλαίνου βλαβεὶς καὶ ἀδικηθεὶς

618 *ἐκβαλὼν V*

εὐχὰς ἀρούραις ἀμφετητύμους βαλεῖ
Δηοῦς ἀνεῖναι μήποτ' ὄμπνιον στάχυν
γύας τιθαιβώσσοντος ἀρδηθμῷ Διός,
ἢν μή τις αὐτοῦ ῥίζαν Αἰτωλῶν σπάσας
χέρσον λαχήνῃ βουσὶν αὔλακας τεμών.
στήλαις δ' ἀκινήτοισιν ὀχμάσει πέδον,
ἃς οὔτις ἀνδρῶν ἐκ βίας καυχήσεται
μετοχλίσας ὄλιζον. ἦ γὰρ ἀπτέρως
αὐταὶ παλιμπόρευτον ἵξονται βάσιν,
ἄνδηρ' ἀπέζοις ἴχνεσιν δατούμεναι.
θεὸς δὲ πολλοῖς αἰπὺς αὐδηθήσεται,
ὅσοι παρ' Ἰοῦς γρῶνον ᾤκηνται πέδον,
δράκοντα τὸν φθείροντα Φαίακας κτανών.

620 *ἀμφ' ἐτητύμους CE ἐφετμὴ τύμβους BP* 622 *γυίας CDE γυῖας A* 627 *ὀλίζον ACDE* 628 *αὐταὶ A²* (῀ *A²*, gravis prope deletus. *αὐταὶ V*) *αὗται CDEp παλιμπόρευτοι p* 629 *ἄπεζα p ἴχνεσιν Bachm. ἴχνεσι V* 631 *οἰκοῦνται V* 632 *φθείροντα Ep φθείραντα ABDP κτείναντα C*, supra *γρ. φθείροντα C²*

---

(620) νῦν κατάρας. ταῖς ἀρούραις, ἐξ οὗ καὶ δαίμων ἀρουραῖος | ἡ ἐντολὴ τοὺς τάφους βαλεῖ | (621) τῆς Δήμητρος, τῆς γῆς ἀναβλαστῆσαι | μήποτε Δημητριακὸν στάχυν ἤγουν σῖτον | (622) τῆς γῆς ἐπιμελουμένου ἢ ἐπιμελείας ἀξιοῦντος· κυρίως δὲ ἡ λέξις ἐπὶ τῶν μελισσῶν λέγεται παρὰ τὸ τιθέναι τὴν βόσιν. καὶ Ὅμηρος·

ἔνθα δ' ἔπειτα τιθαιβώσσουσι μέλισσαι.

ὑετῷ τοῦ Διός | (623) ἐὰν μή τις αὐτοῦ τὴν ῥίζαν τῶν Αἰτωλῶν ἀποσπάσας | (624) τὴν γῆν ἐργάσηται | ταῖς βουσὶ τεμὼν τὰς αὔλακας | (625) ταῖς ἀκινήτοις δὲ στήλαις δεσμήσει τὸ ἔδαφος | (626) ἅστινας οὐδεὶς τῶν ἀνθρώπων ἐκ βίας καυχήσεται | (627) μοχλεύσας ὀλίγον, μικρόν | ὄντως γὰρ ταχέως | (628) αὐταὶ εἰς ὀπισθόρμητον παραγενήσονται βάσιν | (629) κυρίως τὰ τοῦ ποταμοῦ χείλη, νῦν δὲ τὰ κοιλώματα λέγει | μὴ ἔχουσι πέζαν, ὅ ἐστιν πόδα. τοῖς ποσὶ τριβόμεναι | (630) ὁ δὲ θεὸς τοῖς πολλοῖς χαλεπός, ὑψηλὸς λεχθήσεται | (631) ὅσοι παρὰ τὸ Ἰώνιον πέλαγος | κοῖλον ἢ βαθὺ οἰκοῦσιν ἔδαφος | (632) δράκοντα τὸν κτείναντα | τοὺς Φαίακας ἀνελών |

620 *κατάραις B* 622 *ν 106* 625 *ταῖς* pro *τοῖς Bachm.* 629 'leg. *κύματα' Bachm. κύματα* praebet *T*

(620) περὶ τὰς γύας εὐχὰς ἀληθεῖς καὶ ἀρὰς βαλεῖ (621) τῆς Δήμητρος μηδέποτε ἀναβῆναι καὶ ἀναδοῦναι καὶ ἀναβλαστῆσαι Δημητριακὸν καρπόν (622) τὰς ἀρόσεις ἐπιμελομένου τῷ ὑετῷ τοῦ Διός, (623) ἂν μή τις αὐτοῦ τῶν Αἰτωλῶν ῥίζαν ἀποσπάσας (624) τὴν χέρσον ἐργάσηται τοῖς βουσὶ τοὺς αὔλακας διατεμὼν καὶ διακόψας. (625) ταῖς ἀκινήτοις δὲ στήλαις κατὰ τὸ ἔδαφος κρατήσει καὶ σαλεύσει ὁ Δαῦνος, (626) ἃς οὐδεὶς τῶν ἀνθρώπων ἐκ βίας καὶ δυνάμεως ὀλίγον μετακινήσας καυχήσεται. ὄντως γὰρ ἄνευ πτερῶν (628) αὗται αἱ στῆλαι παλιμπόρευτοι πρὸς τὴν βάσιν γενήσονται, (629) τὰ χείλη τοῦ ποταμοῦ μὴ ἔχοντα πόδας τοῖς ἴχνεσι ⟨διακοπεῖσαι⟩. (630) θεὸς δὲ παρὰ πολλοῖς ὁ Διομήδης ὑψηλὸς φημισθήσεται, (631) ὁπόσοι παρὰ τὸ Ἰοῦς ἤγουν τὸ Ἰονικὸν πέλαγος ἢ τὸν κόλπον οἰκοῦσι τὴν γῆν, (632) τὸν φθείροντα τοὺς Φαίακας δράκοντα ἀποκτείνας.

620 *γυας A ι* post *υ* inseruit *A²* 629 *διακοπεῖσαι V* evanuit vox in *A διελθοῦσιν A³*

Οἳ δ' ἀμφικλύστους χοιράδας Γυμνησίας
σισυρνοδῦται καρκίνοι πεπλωκότες
ἄχλαινον ἀμπρεύσουσι νήλιποι βίον,
τριπλαῖς δικώλοις σφενδόναις ὡπλισμένοι.
ὧν αἱ τεκοῦσαι τὴν ἑκηβόλον τέχνην
ἄδορπα παιδεύσουσι νηπίους γονάς.
οὐ γάρ τις αὐτῶν ψίσεται πύρνον γνάθῳ,
πρὶν ἂν κρατήσῃ ναστὸν εὐστόχῳ λίθῳ
ὑπὲρ τράφηκος σῆμα κείμενον σκοποῦ.
Καὶ τοὶ μὲν ἀκτὰς ἐμβατήσονται λεπρὰς
Ἰβηροβοσκοὺς ἄγχι Ταρτησοῦ πύλης,
Ἄρνης παλαιᾶς γέννα, Τεμμίκων πρόμοι,
Γραῖαν ποθοῦντες καὶ Λεοντάρνης πάγους

634 *καρκῖνοι ACD* post *καρκῖνοι* una littera erasa est in *A:* restat etiamnum ʾ 638 *παιδεύουσι CDE* *ους* in voce *νηπίους* in litura *A*[2] (*νηπίων V*) *γόνους D* 639 *ψήσεται CD* 642 *τὸ B* 644 *τεμμίκτων A τεμίκτων B τεκμίκων E*

(633) Οἱ δὲ περὶ τοὺς ἀμφικλύστους | ὑφάλους πέτρας | νήσους περὶ τὴν Τυρσηνίαν | (634) οἱ δερματοχίτωνες, οἱ δερματίνους χιτῶνας ἔχοντες | διὰ τὸ τρίβειν αὐτοὺς ἐν πέτραις καρκίνους ὠνόμασεν | πλεύσαντες | (635) ἄνευ χλαίνης κακοπαθήσουσιν | ἀνυπόδητοι βίον | (636) τρισσαῖς δισκελέσιν | ταῖς σφενδόναις καθωπλισμένοι | (637) ὧν αἱ γεννήσασαι τὴν τοξικὴν τέχνην | (638) νηστείᾳ ἐκπαιδεύσουσιν | τοὺς μικροὺς υἱεῖς | (639) οὐδεὶς γὰρ αὐτῶν γεύσεται | ἄρτον, τροφὴν τῷ στόματι | (640) πρὶν ἢ κατάσχῃ ἄρτον, πλακοῦντα | εὐστόχῳ βολῇ | (641) νῦν τοῦ ξύλου, ὅπου ὁ ἄρτος ἔκειτο· ἔστι δὲ ἡ εὐθεῖα τράφηξ | σημεῖον τοῦ σκοποῦ κείμενον |

(642) Καὶ οὗτοι μὲν τοὺς αἰγιαλοὺς περιπατήσουσιν | τὰς ὑπὸ τῆς θαλάσσης λεπρωθείσας ἢ βεβρωμένας | (643) Σπανικάς, παρόσον πλησίον Ἰβηρίας ἔχουσιν αἱ νῆσοι· νῦν δὲ ἡ Ἰβηρία Σπανία λέγεται | νῆσος πλησίον Ἡρακλείων στηλῶν, Ταρτησσὸς λεγομένη | (644) πόλεως Βοιωτίας. ἡ τροφός. τῶν Βοιωτῶν πρόμαχοι | (645) τὴν νῦν Τάναγραν καλουμένην πόλιν Βοιω-

636 *δισκελέσιν Bachm. δισκέλαισιν B σκελέσιν f διπλόκοις* in litura *a*[2]

ο
σφενδαῖσι B *σφενδόσιν a*

(633) Οἱ δὲ Βοιωτοὶ τὰς περικλύστους καὶ ὑφάλους πέτρας καὶ Γυμνασίας νήσους τῆς Τυρσηνίας (634) δερματίνους χιτῶνας ἐνδεδυμένοι, καρκίνων δίκην πεπλωκότες, (635) ἄνευ χλαίνης καὶ ἄνευ ἱματίου κακοπαθήσουσιν ἀνυπόδετοι τὸν βίον, (636) τρισσαῖς διπλόκοις σφενδόναις καθωπλισμένοι. (637) ὧντινων αἱ μητέρες τὴν ἕκαθεν καὶ πόρρωθεν βάλλουσαν τέχνην (638) ἄνευ τροφῆς διδάξουσι τὰς νηπίους γονάς, τουτέστι τὰ τέκνα. (639) οὐδεὶς γὰρ αὐτῶν γεύσεται τῷ στόματι τροφήν, (640) πρὶν ἂν κρατήσῃ τῷ εὐστόχῳ λίθῳ ἤτοι τῇ εὐστοχίᾳ τὸν πλαστὸν ἄρτον (641) ὑπὲρ τῆς ὑποπλάτου βάσεως σημεῖον κείμενον τοῦ σκοποῦ.

Καὶ τοὶ μὲν ἀκτὰς ἐμβατήσονται λεπράς· (642) καὶ οὗτοι μὲν τὰς ἀκτὰς τὰς ὑπὸ τῆς θαλάσσης βεβρωμένας, τὰς τοὺς Ἰβήρους τρεφούσας ἐγγὺς τῆς Ταρτησσοῦ πύλης ἤτοι τῆς ἐπὶ τῶν Γαδείρων νήσου ἐμβατεύσουσι καὶ παραγενήσονται, (644) τῆς παλαιᾶς πόλεως τῶν Βοιωτῶν Ἄρνης γεννήματα, τῶν Τεμμίκων οἱ πρωτάρχοι, (645) τὴν Γραῖαν πόλιν τῶν Βοιωτῶν ἤτοι τὴν Τάναγραν ποθοῦντες καὶ τῆς Λεοντάρνης πόλεως ἔξοχάς

Σκῶλόν τε καὶ Τέγυραν Ὀγχηστοῦ ϑ᾽ ἕδος
καὶ χεῦμα Θερμώδοντος Ὑψάρνου ϑ᾽ ὕδωρ·
τοὺς δ᾽ ἀμφὶ Σύρτιν καὶ Λιβυστικὰς πλάκας
στενήν τε πορϑμοῦ συνδρομὴν Τυρσηνικοῦ
καὶ μιξόϑηρος ναυτιλοφϑόρους σκοπὰς
τῆς πρὶν ϑανούσης ἐκ χερῶν Μηκιστέως
τοῦ στερφοπέπλου Σκαπανέως Βοαγίδα
ἁρπυιογούνων κλώμακάς τ᾽ ἀηδόνων
πλαγχϑέντας, ὠμόσιτα δαιταλωμένους,
πρόπαντας Ἅιδης πανδοκεὺς ἀγρεύσεται,

ϑ γ
647 *χερμώδοντος* C^2 648 *Λιγυστικὰς* v. l. in *S* *λιβυστικὰς* C^2 cf. *Steph.* 650 *ναυτιλοφόρους B ναυτιλοφϑόρου . A* (. in litura, *ναυτιλοφϑόρους V*) ultima duo vocabula praeter *ναυτ ϑ* evanuerunt in *D* 653 *ἅρπυογούνων B* *ἀρπυογούνων C* 654 *πλαχϑέντας C* 655 *πρόπαντας Ἅιδης πανδοκεὺς* om. *B* *ἀγρεύεται E*

τίας καὶ Ποιμανδρίαν | πόλεως Βοιωτίας ὄχθους, κρημνούς | (646) πόλεις Βοιωτίας | πόλεως Βοιωτίας τὸ ἔδαφος | (647) τὸ ῥεῖθρον καὶ νᾶμα τῶν ποταμῶν τῆς Βοιωτίας | (648) τοὺς δὲ περὶ τὴν Σύρτιν· ἔστι δὲ ὄνομα θαλάσσης ἐν Λιβύῃ | λέγει δὲ τοὺς περὶ Ὀδυσσέα. [καὶ] τὴν Λιβύην λέγει | (649) καὶ τὴν στενὴν τοῦ πορθμοῦ συνδρομήν· πορθμός δέ ἐστι ἡ μεταξὺ δύο γαιῶν θάλασσα | τοῦ Τυρρηνικοῦ | (650) τῆς Σκύλλης | φασὶ τὴν Σκύλλαν ἓξ κεφαλὰς ἔχειν, μίαν κάμπης, ἑτέραν λέοντος, ἄλλην κυνὸς καὶ ἄλλην Γοργόνος καὶ ἑτέραν φαλαίνης καὶ ἕκτην ἀνθρώπου. σκοπὰς δὲ τοὺς σκοπέλους. Ὅμηρος·

αὐτοῦ τ᾽ ἰχθυάασι σκόπελον περιμαιμόωσα |

(651) τῆς πρότερον τεθνηκυίας | ἐκ τῶν χειρῶν Ἡρακλέους | (652) τοῦ δερματοφόρου Ἡρακλέους, τοῦ ἔχοντος πέπλον | στέρφος δὲ ἡ τοῦ λέοντος δορά | ἐπίθετα καὶ ἐπώνυμα Ἡρακλέους. Σκαπανεύς καὶ Βοαγίδας εὐθεῖαι | (653) ὀρνιθογούνων, ἐπεὶ τὰ κάτω μέρη ὄρνιθος εἶχον, τῶν Σειρήνων. ἅρπυα ὄρνις | τοὺς ὑψηλοὺς τόπους | (654) πλανηθέντας, ἀποκρουσθέντας | ὠμοὺς ὑπὸ τοῦ Κύκλωπος ἐσθιομένους | (655) θηρεύσει, ἀντὶ ⟨τοῦ⟩ ἀγρεύσει |

648 *λέγει — καὶ* om. *B* *καὶ* inclusi 650 *σκόλοπας B* *μ 95* 654 *ἐσθιομένους. πάντας ὁ ἅιδης ὁ πάντας ὑποδεχόμενος καὶ ἐπιτηρῶν a ὑποδεχόμενος καὶ* om. *f* 655 *τοῦ* add. *Bachm.*

(646) καὶ τὴν Σκῶλον πόλιν καὶ τὸ ἔδαφος τοῦ Ὀγχηστοῦ (647) καὶ τὸ ῥεῦμα τοῦ Θερμώδοντος ποταμοῦ καὶ τὸ ὕδωρ τοῦ Ὑψάρνου ποταμοῦ· (648) τοὺς δὲ περὶ τὸν Ὀδυσσέα περί τε τὴν Σύρτιν καὶ τὰς Λιβυστικὰς πλάκας, περιφραστικῶς δὲ τὴν Λιβύην, (649) καὶ τοῦ πορθμοῦ τοῦ Τυρσηνικοῦ τὴν συνδρομὴν τοῦ μεταξὺ τοῦ Τυρσηνικοῦ καὶ τοῦ Ἀδριατικοῦ πελάγους (650) καὶ τοὺς σκοπέλους τοὺς ναυτιλοφθόρους τῆς μιξόθηρος Σκύλλας, (651) τῆς προαποθανούσης ἐκ τῶν χειρῶν Μηκιστέως ἤγουν τοῦ Ἡρακλέος, (652) τοῦ τὴν δορὰν τοῦ λέοντος πέπλον ἔχοντος, τοῦ σκάψαντος τὰς κόπρους τῶν τοῦ Αὐγείου βοῶν, τοῦ ἀγαγόντος τὰς βοῦς τοῦ Γηρυόνος, (653) τοὺς τοὺς ὑψηλοὺς τόπους τῶν ἐκ τῶν Ἀρπυιῶν γεγενημένων Σειρήνων ἀηδόνων (654) πλανηθέντας, ὠμοὺς ἐσθιομένους ὑπὸ τοῦ Κύκλωπος, (655) ὁ πάντας ὑποδεχόμενος Ἅιδης ἀγρεύσει,

649 *τοῦ μεταξὺ* A^2. pro *τοῦ* quid scripserit *A* discerni non potest: *ἐκ μεταξὺ V* 652 *καθήραντος* supra *σκάψαντος* A^2

λώβαισι παντοίαισιν ἐσπαραγμένους,
ἕνα φθαρέντων ἄγγελον λιπὼν φίλων
δελφινόσημον κλῶπα Φοινίκης θεᾶς.
ὃς ὄψεται μὲν τοῦ μονογλήνου στέγας
χάρωνος, οἴνης τῷ κρεωφάγῳ σκύφον
χερσὶ προτείνων, τοὐπιδόρπιον ποτόν,
ἐπόψεται δὲ λείψανον τοξευμάτων
τοῦ Κηραμύντου Πευκέως Παλαίμονος,
οἳ πάντα θρανύξαντες εὔτορνα σκάφη
σχοίνῳ κακὴν τρήσουσι κεστρέων ἄγραν.
ἄλλος δ' ἐπ' ἄλλῳ μόχθος ἀθλίους μενεῖ

657 *φίλων ΑΔΠ φίλον B* *φίλ$\overset{ω}{ο}$ν* C^2 *φίλ$\overset{ο}{ω}$ν E* 660 *κρεοφάγω B κρεασφάγῳ CE* 664 *θρανύξαντες υ* in litura A^2 (*θρανοίξαντες V* et lemm. *A*) 'qui *σκάφη* mavult, is *εὐτόρνῳ* quoque in *εὔτορνα* mutet' *Cant. εὐτόρνῳ ACDEΠS ἐστόρνω B ἐν τόρνῳ Schaef. ap. Bachm.* cf. *GHerm. V 242* *σκάφη BDT σκάφει EΠS σκάφ$\overset{η}{ε}$ι* A^2C 665 *κεστραίων B* cf. *P ἄγρην V* 666 *ἀθλίους A* in *ἄθλιος* mutavit A^2 (*ἄθλιον* V^2) *ἄθλιος BCDEΠ ἄθλιον Reich.*

---

(656) παντοίαις βλάβαις καὶ τιμωρίαις ἐσπαραγμένους | (657) ἕνα ἐκ τῶν φθαρέντων ἄγγελον καταλιπὼν ἐκ τῶν φίλων | (658) τὸν Ὀδυσσέα | ἔκλεψεν γὰρ τὸ Παλλάδιον τῆς Ἀθηνᾶς ἅμα τοῦ Διομήδους. Φοινίκη δὲ ἡ Ἀθήνη ἐν Κορίνθῳ | (659) ὃς θεάσεται μὲν τοῦ μονοφθάλμου Κύκλωπος τὸ οἴκημα | (660) χάροψ. νῦν τοῦ Κύκλωπος. οἴνου | τῷ Κύκλωπι ἔκπομα, κύλιξ, σκάφη, ποτήριον, δέπας | (661) ταῖς χερσὶ προτείνων | τὸ ἐπὶ τῷ δείπνῳ ἢ μετὰ τὸ δεῖπνον ποτόν | (662) τοὺς Λαιστρυγόνας λέγει, οὓς Ἡρακλῆς κατετόξευσεν· τοὺς ὑπολοίπους θεάσεται | (663) τὰ τρία ἐπώνυμα Ἡρακλέους | (664) οἳ τὰ πάντα συντρίψαντες τῷ περιφερεῖ | λιμένι τῶν Λαιστρυγόνων οὕτω καλουμένῳ | (665) εἶδος φυτοῦ, ὃ φύεται ἐν τοῖς ἕλεσιν, ἡ σχοῖνος | κακὴν περονήσουσιν ἢ τρυπήσουσιν | κεστραῖος εἶδος ἰχθύος. τὴν ἄγραν τῶν κεστραίων· ἔστιν δὲ ποιὸς ἰχθύς | (666) ἐπ' ἄλλῳ δ' ἄλλος κόπος ἄθλιος μενεῖ |

659 *τὸν ὀφθαλμὸν* pro *τοῦ μονοφθάλμου B* 660 *χάροψ* huc transtuli. in capite proximi versus *B* om. *af* *ἔκπωμα af* 662 *θεάσηται B* 665 *κεστρέων a κεστρείων f*

(656) βλάβαις καὶ τιμωρίαις παντοίαις διεσπαραγμένους, (657) ἕνα τῶν φθαρέντων φίλων καταλιπὼν ἄγγελον (658) τὸν δελφῖνος τύπον ἐπὶ τῆς ἀσπίδος ἔχοντα Ὀδυσσέα, τὸν κλέπτην τῆς Φοινίκης θεᾶς Ἀθηνᾶς. (659) ὅστις θεάσεται μὲν τοῦ μονοφθάλμου χάρωνος ἤτοι τοῦ Κύκλωπος τὰς στέγας καὶ τὰς οἰκίας, οἴνου ἔκπωμα τῷ κρεωφάγῳ (661) ταῖς χερσὶ προτείνων τὸν ἐπιδείπνιον ποτόν. (662) θεάσεται δὲ τοὺς καταλοίπους τῶν Λαιστρυγόνων ἐκ τῶν τοξευμάτων (663) τοῦ τὰς θανατηφόρους Μοίρας ἀμυνομένου καὶ παλαίσαντος τὸν Δία Πευκέως Ἡρακλέος, (664) οἵτινες πάντα συντρίψαντες τῇ εὐτόρνῳ σκάφῃ, τῷ περιφερεῖ λιμένι, (665) τῇ σχοίνῳ περονήσουσι καὶ διαπλέξουσιν ἰχθύων ἄγραν κακὴν ἤτοι τοὺς περὶ Ὀδυσσέα. (666) ἄλλος δὲ ἐπὶ ἄλλῳ κάματος δυσφόρητος καὶ ταλαίπωρος μενεῖ τῷ Ὀδυσσεῖ

665 *τοὺς* pro *τὴν V*

τοῦ πρόσθεν αἰεὶ πλεῖον ἐξωλέστερος.
ποία Χάρυβδις οὐχὶ δαίσεται νεκρῶν;
ποία δ' Ἐρινὺς μιξοπάρθενος κύων;
τίς οὐκ ἀηδὼν στεῖρα Κενταυροκτόνος
Αἰτωλὶς ἢ Κουρῆτις αἰόλῳ μέλει
πείσει τακῆναι σάρκας ἀκμήνους βορᾶς;
ποίαν δὲ θηρόπλαστον οὐκ ἐπόψεται
δράκαιναν, ἐγκυκῶσαν ἀλφίτῳ θρόνα,
καὶ κῆρα κνωπόμορφον; οἱ δὲ δύσμοροι
στένοντες ἄτας ἐν συφοῖσι φορβάδες
γίγαρτα χιλῷ συμμεμιγμένα τρυγὸς
καὶ στεμφύλων βρύξουσιν. ἀλλά νιν βλάβης

669 *ἐρινὺς A*[2] (ν supra) *ἐριννὺς CD* 672 *ἀκμήνους CDE ἀκμήνου Bp* cf. *P ἀκμήνου* A* (ultima linea litterae *υ* secundae est manus. *ἀκμένους V ε* in *η* mutavit *V*[2]) 673 *ἐσόψεται ABCE* 678 inter *στεμφύλων* et *στέμφυλον* optionem dat *Hilb. Silbenw.* 233 *στέμφυλα V* *βρώξουσιν C*[2] (η supra) *βρώξουσιν D*

(667) τοῦ πρότερον ἀεί | κατὰ πολὺ ὀλεθριώτερος ἢ κακώτερος | (668) ἡ ἐν ὕδασι γινομένη εἷλιξ | οὐκ εὐωχηθήσεται, οὐ γεύσεται τεθνεώτων | (669) ποία δὲ δαίμων τιμωρητική | ἡ Σκύλλα· τὸ γὰρ ἥμισυ εἶχεν ἀνθρώπου καὶ τὸ ἥμισυ κυνὸς καὶ θηρίων | (670) τὰς Σειρῆνας λέγει διὰ τὸ παρθένους αὐτὰς εἶναι | ἐπειδὴ ὑπ' αὐτῶν ὤλοντο οἱ Κένταυροι | (671) τὰς Μούσας λέγει, ἐξ ὧν ἐγένοντο | ποικίλῳ καὶ ὀλεθρίῳ ᾠδῇ | (672) πείσει τὰς σάρκας τακῆναι | ἀγεύστου τροφῆς | (673) τὴν θηρία τοὺς ἄνδρας μεταποιήσασαν, Κίρκην λέγει. οὐ θεάσεται | (674) τὴν δράκαιναν ἐνταράσσουσαν, μιγνύουσαν | τῷ ἀλεύρῳ ἢ τῇ βρώσει τὰ ποικίλα φάρμακα | (675) καὶ Μοῖραν | τὴν μεταμορφοῦσαν εἰς θηρία τοὺς ἀνθρώπους, Κίρκην· κνῶπες γὰρ τὰ θηρία | οἱ δὲ δυστυχεῖς (676) στενάζοντες τὰς βλάβας | ἐν ταῖς τῶν χοίρων κοίταις | χοῖροι (677) τὰ τῶν σταφυλῶν καὶ ῥοιῶν ἔνδοθεν ὄντα σπέρματα, ὅθεν καὶ ἀγίγαρτον τὸ μὴ ἔχον ἔνδοθεν τὸ σπέρμα, ἀλλὰ δι' ὅλου λεῖον | τῇ ἐκ σίτων τροφῇ συμμεμιγμένα | τῆς ὑποστάθμης τοῦ οἴνου | (678) καὶ τὰ τῶν σταφυλῶν λέπυρα, ἅπερ

668 *εὐωχηθήσεται* pro *εὐωχηθῇ editor* 672 *ἀγεύστου** (ultima linea litterae *υ* tertiae est manus) *a* 676 *χοῖροι* om. *B*

(667) τοῦ ἔμπροσθεν ἀεὶ χαλεπώτερος καὶ ὀλεθριώτερος. (668) ποία ἴλιγξ τοῦ θαλαττίου ὕδατος οὐ γεύσεται καὶ εὐωχηθήσεται τῶν νεκρῶν; (669) ποῖος δὲ τιμωρητικὸς δαίμων, ἐξ ἀνθρώπου καὶ κυνὸς μεμιγμένη κύων; (670) τίς οὐκ ἀηδὼν στεῖρα καὶ παρθένος Σειρὴν κενταυροκτόνος (671) Αἰτωλὶς ἢ Κουρῆτις τῷ ποικίλῳ μέλει (672) πείσει τακῆναι καὶ ἰσχνωθῆναι τὰς σάρκας ἀγεύστου τροφῆς; (673) ποίαν δὲ εἰς θηρία μεταπλάττουσαν τοὺς ἀνθρώπους Κίρκην οὐ θεάσεται, (674) τὴν δράκαιναν τὴν μιγνύουσαν τῷ ἀλεύρῳ τὰ φάρμακα ποικίλα, (675) καὶ συμφορὰν θηριόμορφον; οἱ δὲ περὶ τὸν Ὀδυσσέα δυσθάνατοι (676) στενάζοντες τὴν βλάβην ἐν ταῖς τῶν χοίρων κοίταις (677) τὰ τῶν σταφυλῶν καὶ ῥοιῶν ἔνδοθεν ὄντα σπέρματα τῇ ἐκ σίτου τροφῇ συμμεμιγμένα (678) καὶ τῶν σταφυλῶν λέπυρα φάγονται. ἀλλ' αὐτὸν τὸν Ὀδυσσέα τῆς βλάβης

μῶλυς σαώσει ῥίζα καὶ Κτάρος φανεὶς
Νωνακριάτης τρικέφαλος φαιδρὸς θεός.
ἥξει δ' ἐρεμνὸν εἰς ἁλήπεδον φθιτῶν
καὶ νεκρόμαντιν πέμπελον διζήσεται
ἀνδρῶν γυναικῶν εἰδότα ξυνουσίας,
ψυχαῖσι θερμὸν αἷμα προσράνας βόθρῳ.
καὶ φασγάνου πρόβλημα, νερτέροις φόβον,
πήλας ἀκούσει κεῖθι πεμφίδων ὄπα
λεπτὴν ἀμαυρᾶς μάστακος προσφθέγμασιν.
ὅθεν Γιγάντων νῆσος ἡ μετάφρενον
θλάσασα καὶ Τυφῶνος ἀγρίου δέμας
φλογμῷ ζέουσα δέξεται μονόστολον,

679 *βοτάνη τις ἡ μῶλυς P* cf. *GHerm. V* 242 *μῶλυ* A* (ultima linea litterae *υ* in litura. *μῶλυ V*) *μῶλος B μῶλυ CDE* 681 *ἐρυμνὸν A* (correxit *A*[2]) *CDE* cf. *P* *ἀλίπεδον CDE* 683 *συνουσίας A* post *ξυνουσίας* comma puncti loco, post *βόθρῳ* punctum commatis loco posui 686 *πεμφίδων AC* (*δων* in litura *C*[2]) *DE πεμφίγων B* quod praetulit *GHerm. V* 243 687 *ἀμαυρὰν B* cf. *P ἀμυδροῦ D* *προσφθέγμασι C προφθέγμασι B* cf. *P* 689 *θάλασσα BD*[2]*E* (*ἢ θλάσασα* int. lin. *E*) *p* cf. *P ἡ θλάσασα ἢ ἡ θάλασσα T*

φασὶ τζίπουρα | φαγοῦνται. ἀλλ' αὐτὸν τῆς βλάβης | (679) βοτάνη τις ἡ μῶλυς, ἥστινος ἡ ῥίζα σώσει | καὶ ὁ Ἑρμῆς, ἐπιθετικῶς· σημαίνει δὲ καὶ θερμόν. φανεὶς | (680) ἀπὸ τόπου ὁ Ἑρμῆς | ὁ Ἑρμῆς διὰ τὸ φυσικὸν καὶ λογικὸν καὶ ἠθικόν· ἢ οὐράνιος καὶ ἐπίγειος καὶ καταχθόνιος | λαμπρὸς θεός | (681) παραγενήσεται εἰς τὸ σκοτεινόν | ἔστι δὲ ὅτε καὶ ἰσχυρόν δηλοῖ | εἰς ὁμαλὸν καὶ λεῖον πεδίον φθαρτῶν | (682) καὶ τὸν Τειρεσίαν | γέροντα ζητήσει | (683) τῶν ἀρρένων καὶ τῶν θηλειῶν | ἐπιστάμενον τὰς ἀφροδισίους μίξεις | (684) ταῖς ψυχαῖς ἀτμίζον αἷμα προσχύσας τῷ λάκκῳ | (685) καὶ τοῦ ξίφους τὴν προβολὴν τοῖς ὑπὸ γῆν φόβον | (686) κινήσας ἐκεῖσε ἀκούσει | τῶν ψυχῶν τὴν φωνήν | (687) λεπτὴν ἰσχνοῦ στόματος ἢ λάρυγγος. ἢ ἀμαυρᾶς καὶ ἰσχνῆς καὶ λεπτῆς | προσρήσεσιν | (688) τὰς Πιθηκούσας νήσους λέγει, τὰς περὶ Ἰταλίαν | ἥτις τὸ μετάφρενον | (689) θάλασσα. καὶ ἀγρίου ἀνέμου δέμας. μεγάλου σῶμα | (690) τῇ φλογὶ ζέουσα | δέξεται ἐν πλοῖον ἔχοντα |

679 *μῶλος B* 687 *ἰσχνὸν?* *προσφθέγμασιν ἢ προσρήσεσιν a προρρήσεσιν B* 689 *θλάσασα a*

(679) ἡ ῥίζα σαώσει καὶ ὁ Ἑρμῆς ἀναφανεὶς (680) ὁ Νωνακριάτης καὶ τρικέφαλος καὶ φαιδρὸς θεός. (681) παραγενήσεται δὲ εἰς τὸ σκοτεινὸν καὶ λεῖον πεδίον τῶν νεκρῶν (682) καὶ τὸν γέροντα καὶ μάντιν Τειρεσίαν ζητήσει, (683) τὸν τῶν γυναικῶν καὶ ἀνδρῶν τὰς συνουσίας ἐπιστάμενον. (684) ταῖς ψυχαῖς θερμὸν αἷμα τῷ βόθρῳ σπείσας καὶ ῥάνας (685) καὶ τοῦ ξίφους τὴν προσβολὴν πήλας καὶ σείσας, τοῖς ὑποταρταρίοις φόβον, ἀκούσει ἐκεῖ (687) ἀσθενοῦς καὶ λεπτοῦ λάρυγγος ἀποφθέγμασιν. (688) ἐκεῖθεν τῶν Γιγάντων νῆσος καὶ πέριξ (689) θάλασσα καὶ τὸ τοῦ ἀγρίου Τυφῶνος δέμας (690) τῷ βρασμῷ ζέουσα δέχεται τὸν Ὀδυσσέα ἐν πλοῖον ἔχοντα.

686 *ἐκεῖ* pro *ἐκεῖθεν editor*

ἐν ᾗ πιθήκων πάλμυς ἀφθίτων γένος
δύςμορφον εἰς κηκασμὸν ᾤκισεν τόσων,
οἳ μῶλον ὠρόθυναν ἐκγόνοις Κρόνου.
Βαίου δ' ἀμείψας τοῦ κυβερνήτου τάφον
καὶ Κιμμέρων ἔπαυλα κἀχερουσίαν
ῥόχθοισι κυμαίνουσαν οἴδματος χύσιν
Ὄσσαν τε καὶ λέοντος ἀτραποὺς βοῶν
χωστὰς Ὀβριμοῦς τ' ἄλσος, οὐδαίας Κόρης,
πυριφλεγές τε ῥεῖθρον — ἔνθα δύςβατος
τείνει πρὸς αἴθραν κρᾶτα πολυδέγμων λόφος,
ἐξ οὗ τὰ πάντα χύτλα καὶ πᾶσαι μυχῶν
πηγαὶ κατ' Αὐσονῖτιν ἕλκονται χθόνα —
λιπών τε Ληθαιῶνος ὑψηλὸν κλέτας
λίμνην τ' ἄορνιν ἀμφιτορνωτὴν βρόχῳ

692 *ᾤκησεν B ὤκησε C ᾤκισε D* cf. *T* *τόσον BD* cf. *P* *τόσῶν* (ο supra ω) *E* *τόσον* (ω supra ο) *C* 693 *ἐγγόνοις D* 698 *Ὀμβριμοῦς* v. l. apud *T* 700 *αἶθραν ACD*

703 *λιπὼν δὲ ABΠs* 704 *ἄορνιν DET ἄορνιν* (ο supra ι) *C*[2] *ἄορνον AB*

---

(691) ἐν ᾗ τῶν πιθήκων. πατὴρ ἢ βασιλεύς. τὸ γένος τῶν ἀφθάρτων | (692) δύσμορφον, δυσειδῆ πρὸς γέλωτα καὶ ὕβριν | ᾤκισεν τοσοῦτον | (693) οἵτινες πόλεμον διήγειραν τέκνοις Κρόνου | (694) τοῦ Βαίου· ἔστι δὲ ὄνομα κύριον. ἀλλάξας. κυβερνήτου Ὀδυσσέως | τοῦ κυβερνήτου μνημεῖον | (695) ἔθνος δυτικόν. τὰς ἐπαύλεις | καὶ τὸν Ἅιδου ποταμὸν Ἀχέροντα | (696) ῥεύμασι κυματίζουσαν | τὴν χύσιν τοῦ κύματος | (697) ὄρος Ἰταλίας καὶ Μακεδονίας· λέοντος δὲ τοῦ Ἡρακλέος | τὰς διαβάσεις καὶ ὁδοὺς τῶν βοῶν | (698) κεχωσμένας | καὶ τῆς Φερσεφόνης καὶ τὸ ἄλσος | τῆς καταχθονίας κόρης | (699) καὶ τὸν Πυριφλεγέθοντα ποταμόν | ὅπου ὁ δύσβατος | (700) ἐκτείνει πρὸς τὸν αἰθέρα | τὴν κεφαλήν, τροπικῶς | ὄρους τῆς Ἰταλίας τὸ ἀνάστημα | (701) ἐξ οὗ πάντα τὰ ῥεῖθρα καὶ νάματα | καὶ πᾶσαι τῶν ἐνδοτάτων | (702) αἱ πηγαὶ κατὰ τὴν Ἰταλικήν | σύρονται γῆν | (703) καταλιπὼν δὲ. ὄρους Ἰταλίας· Ληθαιὼν δέ ἐστιν ἡ εὐθεῖα | ὑψηλὴν ἀκρώρειαν | (704) τὴν περὶ Κύμην λέγει. περιφερῆ | δίκην δεσ-

692 *ὤκησεν B* *τοσούτων a* 697 *Ἡρακλέου* ex *ἡρακλέο B*[2] 698 *περσεφόνη af* 704 *θεσμοῦ B*

(691) ἐν ᾗ νήσῳ τὸ τῶν πιθήκων δύσμορφον τοσοῦτον γένος ὁ τῶν ἀφθάρτων καὶ ἀθανάτων Ζεὺς βασιλεὺς ὀνειδισμὸν καὶ γέλωτα κατῴκισεν, (693) οἵτινες πόλεμον διήγειραν τοῖς ἀπογόνοις τοῦ Κρόνου. (694) τοῦ κυβερνήτου δὲ τοῦ Βαίου τὸν τάφον παραλλάξας ἤτοι τὴν Σικελίαν (695) καὶ τῶν Κιμμερίων ἐθνῶν τὰς ἐπαύλεις καὶ τὴν Ἀχερουσίαν λίμνην (696) τοῦ Ἅιδου τοῖς ῥεύμασιν ὀγκοῦσαν καὶ κυμαίνουσαν τοῦ οἰδήματος καὶ κύματος τὴν ῥεῦσιν (697) καὶ τὴν Ὄσσαν τὸ ὄρος καὶ τοῦ λέοντος ἤτοι τοῦ Ἡρακλέος τὰς χωστὰς ὁδοὺς τῶν βοῶν (698) καὶ τὸ ἄλσος τῆς Ὀβρίμας ἤγουν τῆς Περσεφόνης, τῆς τοῦ Ἅιδου κόρης, (699) τό τε πυριφλεγὲς ῥεῦμα, τουτέστι τὸν Πυριφλεγέθοντα ποταμόν, ὅπου ὁ δυσεξόδευτος (700) Πολυδέγμων ἤτοι τὸ ὄρος τῆς Ἰταλίας ἐκτείνει πρὸς τὸν αἰθέρα τὴν κορυφήν, (701) ἐξ οὗ τὰ παντοῖα νάματα καὶ ῥεύματα, πᾶσαι τῶν ἐσωτάτων (702) αἱ πηγαὶ κατὰ τὴν Ἰταλικὴν γῆν ἕλκονται καὶ φέρονται. (703) καταλιπὼν δὲ τοῦ Ληθαιῶνος, ὄρους τῆς Ἰταλίας, ἀκρώρειαν (704) καὶ τὴν Ἄορνον λίμνην τὴν δίκην δεσμοῦ περιεσφιγμένην

καὶ χεῦμα Κωκυτοῖο λαβρωθὲν σκότῳ,
Στυγὸς κελαινῆς νασμόν, ἔνθα Τερμιεὺς
ὁρκωμότους ἔτευξεν ἀφθίτοις ἕδρας,
λοιβῆς ἀφύσσων χρυσέαις πέλλαις γάνος,
μέλλων Γίγαντας κἀπὶ Τιτᾶνας περᾶν·
θήσει Δαείρᾳ καὶ ξυνευνέτῃ δάνος
πήληκα κόρσῃ κίονος προσαρμόσας.
κτενεῖ δὲ κούρας Τηθύος παιδὸς τριπλᾶς,
οἴμας μελῳδοῦ μητρὸς ἐκμεμαγμένας,
αὐτοκτόνοις ῥιφαῖσιν ἐξ ἄκρας σκοπῆς
Τυρσηνικὸν πρὸς κῦμα δυπτούσας πτεροῖς,
ὅποι λινεργὴς κλῶσις ἑλκύσει πικρά.
τὴν μὲν Φαλήρου τύρσις ἐκβεβρασμένην

706 *κελαινὸν B* 709 ante 708 posuit *Cant.* 708 *λοιβῆς ἀφύσσων editor λοιβᾶς τ' ἀφύσσων A λοιβάς τ' ἀφύσσων BCDEΠT* *χρυσέοις B* 709 *τιτῆνας ABCE* 713 *ἐκμεμαγμένης* (ας) *C*[2] (κ quoque *C*[2] intulit, fortasse in ισ) 714 *σφαγαῖσιν C* 716 *ὅπου V*

μοῦ κυκλοειδοῦς | (705) καὶ ῥεῦμα τοῦ ἐν Ἅιδου ποταμοῦ | ὑψωθὲν τῇ σκοτίᾳ | (706) πηγῆς σκοτεινῆς κατακλυσμόν, ὄμβρον, ὅπου ὁ Ζεὺς | (707) ὅρκους ἐποίησεν | τοῖς θεοῖς καθέδρας | (708) καὶ σπονδὰς ἀπαντλῶν | χρυσοῖς ποτηρίοις ποιμενικοῖς. ὕδωρ, ἐφ' ᾧ γανύμεθα | (709) μελλων τοὺς Γίγαντας | καὶ τοὺς Τιτᾶνας ἀποπερᾶν | (710) θήσει τῇ Περσεφόνῃ | καὶ τῷ συγκοίτῳ δῶρον | (711) περικεφαλαίαν τῇ κεφαλῇ | ἀπὸ τοῦ κίονος ἁρμόσας | (712) ἀποκτενεῖ δὲ τὰς θυγατέρας, τὰς Σειρῆνας | τοῦ Ἀχελώου ποταμοῦ | τρεῖς, τὴν Παρθενόπην, τὴν Λευκωσίαν, τὴν Λίγειαν. μήτηρ δ' αὐτῶν Τερψιχόρη | (713) τὰς ᾠδάς, τὰς μελῳδίας τῆς μελῳδοῦ μητρὸς | ἐκμιμουμένας | (714) ταῖς αὐτοκτόνοις ῥιφαῖς | ἐκ τῆς ἄκρας σκοπιᾶς | (715) πρὸς τὸ Τυρσηνικὸν κῦμα | πηδώσας εἰς θάλασσαν τοῖς πτεροῖς | (716) ὅπου τὰ τῶν Μοιρῶν λίνα ἤγουν ἡ πεπρωμένη μοῖρα | ἡ πικρὰ φέρει | (717) Παρθενόπην. ὄνομα κύριον, ὃς ἔκτισε τὴν ἐν Ἰταλίᾳ Νεάπολιν | εἰς τὸ τεῖχος ἐκριφεῖσαν |

708 *ὕδωρ — γανύμεθα* om. *B* *ἐφ' ᾧ γαν.* om. *f* 711 *προσαρμόσας a* 715 *κυρσηνικὸν B*

(705) καὶ ῥεῦμα τοῦ Κωκυτοῦ ποταμοῦ ὑψωθὲν τῷ σκότῳ, (706) τῆς μελαίνης Στυγὸς τὸ νᾶμα, ὅπου ὁ Ζεὺς (707) τὰς τῶν ὁρκωμοσιῶν τοῖς ἀφθάρτοις θεοῖς καθέδρας κατεσκεύασεν. (708) καὶ τὰς σπονδὰς ἀπαντλῶν τοῖς χρυσοῖς ποτηρίοις τὸ ὕδωρ (709) μελλων τοὺς Γίγαντας καὶ τοὺς Τιτᾶνας διαπερᾶν θήσει τῇ Περσεφόνῃ καὶ τῷ ξυνευνέτῃ αὐτῆς δῶρον (711) τὴν περικεφαλαίαν τῇ κορυφῇ τοῦ κίονος ἐφαρμόσας. (712) ἀποκτενεῖ δὲ τὰς τρεῖς θυγατέρας τοῦ υἱοῦ [καὶ τῆς θυγατρὸς] τῆς Τηθύος Ἀχελώου (713) τὰς ὁδοὺς τῆς μελῳδοῦ μητρὸς Τερψιχόρης ἀναμαξαμένας καὶ ἀνατυπουμένας, (714) ταῖς αὐτοκτόνοις ῥιφαῖς ἀπὸ τῆς ἄκρας ἐξοχῆς (715) πρὸς τὸ Τυρσηνικὸν κῦμα καὶ ῥεῦμα πηδώσας τοῖς πτεροῖς, (716) ὅπου τὰ τῶν Μοιρῶν λίνα ἤγουν ἡ πεπρωμένη πικρὰ Μοῖρα ἄξει σε. (717) τὴν Παρθενόπην τοῦ Φαλάριδος τὸ τεῖχος ἤτοι ἡ Νεάπολις ἐκβεβρασμένην

712 *καὶ τῆς θυγατρὸς* inclusi *τῆς τηθύος* pro *τοῦ τηθύου V* 714 *ἀπὸ* pro *ὑπὸ editor* 715 *πηδώσας editor πηδήσας A δυπτούσας V*

Γλάνις τε ῥείθροις δέξεται τέγγων χθόνα,
οὗ σῆμα δωμήσαντες ἔγχωροι κόρης
λοιβαῖσι καὶ θύσθλοισι Παρθενόπην βοῶν
ἔτεια κυδανοῦσιν οἰωνὸν θεάν.
ἀκτὴν δὲ τὴν προὔχουσαν εἰς Ἐνιπέως
Λευκωσία ῥιφεῖσα τὴν ἐπώνυμον
πέτραν ὀχήσει δαρόν, ἔνθα λάβρος Ἶς
γείτων θ' ὁ Λᾶρις ἐξερεύγονται ποτά.
Λίγεια δ' εἰς Τέρειναν ἐκναυσθλώσεται,
κλύδωνα χελλύσσουσα. τὴν δὲ ναυβάται
κρόκαισι ταρχύσουσιν ἐν παρακτίαις,
Ὠκινάρου δίναισιν ἀγχιτέρμονα.

718 *γλᾶνις B* 719 *οὐ B* cf. *P* *δομήσαντες AE* *δομήσαντες* (ω supra ο) *TC* *δωμήσαντες* (ο supra ω) *D* 725 *λάρις BCDE* *θ' ὁ Λᾶρις* corruptum esse iudicat *GHerm. V* 243 727 *κλύδων αὐχελλύσσουσα A* primo, deinde ' et *υ* erasit (*κλύδωνα χελλύσσουσα V*), tractus litterarum *υσσουσα* cum pallidiores essent firmavit *A*² *χελύσουσα CD* cf. *T* 729 *γρ. ἀκαρίνου C*² super *ὠκινάρου*

(718) καὶ τῆς Νεαπόλεως ποταμὸς νάμασιν | ὑποδέξεται βρέχων τὴν γῆν | (719) οὗ τάφον οἰκοδομήσαντες | οἱ ἔγχωροι τῆς κόρης | (720) σπονδαῖς καὶ θυσίαις | ὄνομα τῆς μιᾶς τῶν Σειρήνων. λέγων | (721) τὰ κατ' ἔτος καὶ κατ' ἐνιαυτὸν δοξάσουσιν | τὴν Παρθενόπην Σειρῆνα, διὰ τὰ πτερά | (722) εἰς δὲ τὴν προκειμένην ἀκτήν | τοῦ Ποσειδῶνος παρὰ Μιλησίοις τιμωμένου | (723) μία τῶν Σειρήνων, ἀφ' ἧς ἡ νῆσος. τὴν ἐπώνυμον | (724) τὴν Λευκωσίαν νῆσον ἐποχήσεται ἐπὶ πολὺν χρόνον | ὅπου ὁ λάβρος. ποταμὸς Ἰταλίας | (725) καὶ ὁ γείτων. ποταμὸς Ἰταλίας Λάρις | ἐξερεύγονται νάματα | (726) ἡ δὲ μία τῶν Σειρήνων Λίγεια εἰς τὴν Τέρειναν | ἐκπλεύσει, ἐκριφήσεται | (727) τὸν κλύδωνα νηχομένη, ῥύσσουσα καὶ τοῖς χείλεσιν ὠθοῦσα τὸ ὕδωρ | ταύτην δὲ οἱ ἐπὶ νῆσον βαίνοντες | (728) ἐν ταῖς ψάμμοις καὶ ψήφοις θάψουσιν | παρὰ ταῖς ἀκταῖς | (729) ταῖς Ἰταλικοῦ ποταμοῦ συστροφαῖς | τὸν γείτονα, τὸν ὅμουρον |

718 *ποταμὸς* pro *ποταμοῦ Bachm.* 719 *οὐ B* *ἐγχώριοι af* 720 *βοῶν* pro *λέγων f* om. *a* 722 *περὶ B* 728 *περὶ B* 729 *τὴν* pro *τὸν* bis *Bachm.*

(718) ὅτε Γλάνις ποταμὸς τοῖς ῥεύμασιν δέξεται βρέχων τὴν γῆν, (719) ὅπου τάφον δομήσαντες ἤγουν οἰκοδομήσαντες οἱ ἐγχώριοι τῆς κόρης (720) λοιβαῖς καὶ θυσίαις βοῶν ἐτησίως δοξάσουσι τὴν οἰωνὸν θεάν, τὴν Παρθενόπην. (722) τὴν δὲ προκειμένην ἀκτὴν εἰς τὴν θάλασσαν τοῦ Ποσειδῶνος ἤτοι ⟨τὸ⟩ Ποσείδειον ἀκρωτήριον (723) Λευκωσία ῥιφεῖσα τὴν ἐξ αὐτῆς ἐπώνυμον (724) πέτραν ἤτοι νῆσον ἐποχήσεται ἐπὶ πολύ, ὅπου ὁ σφοδρότατος ποταμὸς Ἶς (725) καὶ ὁ γείτων Λάρις τὰ πόματα ἐξερεύγονται καὶ ἐκχέουσιν. (726) ἡ Λίγεια δὲ εἰς τὴν Τέρειναν πόλιν τῆς Ἰταλίας ἐκπλεύσει καὶ ῥιφήσεται (727) τὸν κλύδωνα νηχομένη. ταύτην δὲ ἐν ταῖς ναυσὶ βαίνοντες (728) τοῖς ψάμμοις καταχώσουσιν ἐν τοῖς αἰγιαλοῖς, (729) ταῖς συστροφαῖς τοῦ Ὠκινάρου ποταμοῦ γείτονα καὶ ὅμουρον.

722 *τὸ* inseruit post *ἤτοι A*² 726 *ἐκπλεύσει* pro *ἐκπνεύσει Bachm.*

λούσει δὲ σῆμα βούκερως νασμοῖς ἀρής,
ὀρνιθόπαιδος ἴσμα φοιβάζων ποτοῖς.
πρώτῃ δὲ καί ποτ' αὖθι συγγόνων θεᾷ
κραίνων ἁπάσης Μόψοπος ναυαρχίας
πλωτῆρσι λαμπαδοῦχον ἐντυνεῖ δρόμον,
χρησμοῖς πιθήσας. ὅν ποτ' αὐξήσει λεὼς
Νεαπολιτῶν, οἳ παρ' ἄκλυστον σκέπας
ὅρμων Μισηνοῦ στύφλα νάσσονται κλίτη.
βύκτας δ' ἐν ἀσκῷ συγκατακλείσας βοός,
παλινστροβήτοις πημοναῖς ἀλώμενος
κεραυνίᾳ μάστιγι συμφλεχθήσεται
καύηξ, ἐρινοῦ προσκαθήμενος κλάδῳ,
ὡς μὴ καταβρόξῃ νιν ἐν ῥόχθοις κλύδων

730 *ἀρής* cl. *p S editor* *Ἄρης V* *Ἔρης* et *Ἔρις* v. l. in *S* 731 *ἴσμα ACEs ισμα B* 732 *αὖθις BCDE* *συγγόνῳ A* 737 *ὅρμον C* 740 *κεραυνίῃ V* 742 *καταβρόξῃ Muell. III 290* *καταβρώξῃ V*

---

(730) πλυνεῖ δὲ τὸν τάφον | ἰσχυρὸς, ὅτι βουκεφάλους τοὺς ποταμοὺς εἰσάγουσι διὰ τὸ βίαιον τοῦ ῥεύματος | τοῖς ὕδασι. πόλεμος | (731) τῆς ὀρνιθοποιοῦ Σειρῆνος τὸν τάφον, τὸ ἵδρυσμα | λευκαίνων, καθαρίζων τοῖς ὕδασι | (732) πρώτῃ δὲ καί ποτε πάλιν | τῇ Παρθενόπῃ | (733) κρατῶν καὶ βασιλεύων ἁπάσης | τῆς Ἀττικῆς· Μοψοπία γὰρ ἡ Ἀττικὴ ἐκαλεῖτο ἀπὸ Μόψοπος βασιλεύσαντος | τοῦ στόλου | (734) τοῖς πλέουσι. λαμπαδοῦχον δὲ, διότι λαμπάδας ἔβαλλον εἰς τὴν θάλασσαν | εὐτρεπίσει τὸν δρόμον | (735) ταῖς προφητείαις πεισθείς | ὅντινά ποτε ὁ λαὸς αὐξήσει Νεαπολιτῶν | (736) οἵτινες παρὰ τὸν ἀκύμαντον ἢ πολύκλυστον | σκέπην | (737) τῆς ὁρμήσεως τῆς λίμνης ἢ λιμένος τῶν Νεαπολιτῶν | τραχέα οἰκήσουσιν ἀκρωτήρια | (738) τοὺς ἀνέμους δ' ἐν τῷ ἀσκῷ | συναποκλείσας τοῦ βοός | (739) ὀπισθορμήτοις, πολυπλάνοις | βλάβαις πλανώμενος | (740) τῇ τοῦ κεραυνοῦ τιμωρίᾳ συγκαήσεται | (741) ὁ λάρος. ἐρινοῦ δὲ συκῆς ἀγρίας | παρακαθήμενος τῷ κλάδῳ | (742) ὅπως μὴ καταπίῃ αὐτόν | ἐν τοῖς ὕδασιν ὁ τάραχος |

730 *ἰσχυρὸς a* (*o* in litura a^2) *f* *ἰσχυρῶς B* 731 *ὀρνιθοφυοῦς af* 736 *ἀκοίμαντον ἢ πολύκλοιστον B* 737 *ὁρμίσεως Bachm.* 739 *παλιπλάνοις?*

(730) λούσει δὲ τὸν τάφον τοῖς νάμασιν ὁ ἰσχυρὸς βούκερως ἤτοι ποταμός (731) τῆς ὀρνιθοποιοῦ Σειρῆνος λευκαίνων τοῖς ῥεύμασιν. (732) τῇ πρώτῃ δὲ τῶν ἀδελφῶν θεᾷ Παρθενόπῃ ποτὲ (733) ὁ κρατῶν καὶ ἄρχων πάσης τῆς Ἀττικῆς ναυαρχίας (734) τοῖς πλέουσιν λαμπάδας βάλλουσιν εἰς τὴν θάλασσαν δρόμον (735) ὁ τῶν Νεαπολιτῶν λαὸς αὐξήσει, οἵτινες παρὰ τὸ ἀκύμαντον σκέπασμα (737) τῶν ὅρμων τοῦ Μισηνίου λιμένος τὰ τραχέα ἀκρωτήρια κατοικήσουσι. (738) τοὺς ἀνέμους δὲ ἐν ἀσκῷ βοὸς συγκατακλείσας (739) ὀπισθορμήτοις βλάβαις ἀλώμενος (740) τῇ κεραυνίῃ μάστιγι συγκατακαυθήσεται (741) ὁ λάρος ἤγουν ὁ Ὀδυσσεύς, ἀγρίας συκῆς ἐπικαθήμενος κλάδῳ ἤγουν τῷ πλοίῳ, (742) ὅπως αὐτὸν μὴ καταπίῃ ἐν τοῖς ῥεύμασιν ὁ κλύδων

730 *τὸ ἵδρυμα* post *ποταμός* add. A^2 737 *Μισηνίου VA*[3] (in litura) 739 *ἀλώμενος A* (*ώ* in litura A^2)

Χάρυβδιν ἐκφυσῶσαν ἑλκύσας βυθῷ.
βαιὸν δὲ τερφθεὶς τοῖς Ἀτλαντίδος γάμοις
ἀναυτόχητον αὐτοκάβδαλον σκάφος
βῆναι ταλάσσει καὶ κυβερνῆσαι τάλας
αὐτουργότευκτον βᾶριν, ἐς μέσην τρόπιν
εἰκαῖα γόμφοις προστεταργανωμένην.
ἧς οἷα τυτθὸν Ἀμφίβαιος ἐκβράσας
τῆς κηρύλου δάμαρτος ἀπτῆνα σπόρον
αὐταῖς μεσόδμαις καὶ σὺν ἰκρίοις βαλεῖ
πρὸς κῦμα δύπτην ἐμπεπλεγμένον κάλοις.
πόντου δ' ἄυπνος ἐνσαρούμενος μυχοῖς
ἀστῷ σύνοικος Θρηκίας Ἀνθηδόνος
ἔσται. παρ' ἄλλου δ' ἄλλος ὡς πεύκης κλάδον
βύκτης στροβήσει φελλὸν ἐνθρώσκων πνοαῖς.

744 *τῆς DE* 745 *ἀναυτόχητον* cl. *S editor ἀναυλόχητον V αὐτοκαύδαλον E αὐτοκάνδυλον* (αυ *superscr.*) *D αὐτοκάνδαυλον C* (*υ* post *α* inseruit C^2) 746 *ταλάσει BCD κυβερνῆσαι ABDEP κυβερνήσει Cp* 747 *είς CE* 755 *κλάδος Scal.* ap. *Meurs.* 756 *στρομβήσει A στροφήσει B*

(743) τὴν λεγομένην ἄμπωτιν σύρας τῷ βάθει | (744) ὀλίγον δὲ χαρεὶς τοῖς Καλυψοῦς | (745) αὐτοσχέδιον πλοῖον | κυρίως τὰ ῥυπαρὰ καὶ μὴ ἀληλεσμένα ἄλευρα. νῦν δὲ τὸ πλοῖον λέγει | (746) βῆναι καρτερήσει | καὶ κυβερνῆσαι ὁ ταλαίπωρος | (747) αὐτοκατασκεύαστον, τὴν ἀφ' ἑαυτοῦ γεγονυῖαν ναῦν, πλοῖον | εἰς μέσην τὴν τρόπιν. ὃν | (748) εἰκῆ καὶ μάτην τοῖς ξυλίνοις περονίοις | προσδεδεμένην, συμπεπλεγμένην | (749) ἧστινος ὁποῖα μικρὸν | ἐπώνυμον τοῦ Ποσειδῶνος ἐκριφεὶς | (750) τῆς ἀλκυόνος γυναικός· ὁ γὰρ ἄρσην κηρύλος λέγεται | μικρὸν νεοσσόν, τὸν μὴ πτερὰ ἔχοντα | (751) αὐταῖς ταῖς μεσόδμαις ἤγουν ὀρθοῖς ξύλοις τῆς σχεδίας | καὶ σὺν τοῖς ὀρθοῖς ἢ πλαγίοις ξύλοις καταβαλεῖ | (752) πρὸς κῦμα τὸν κολυμβητήν· λέγει δὲ Ὀδυσσέα | ἐμπεπλεγμένον τοῖς σχοινίοις ἢ τοῖς ξύλοις | (753) τῆς θαλάσσης δ' ἄυπνος | ἐν τοῖς βυθοῖς περιφερόμενος ἢ κλυδωνιζόμενος | (754) τῷ πολίτῃ σύνοικος· λέγει δὲ Γλαύκῳ | πόλεως Βοιωτικῆς, ἣν ᾤκησαν Θρᾷκες | (755) γενήσεται δὲ παρ' ἄλλου ἄλλος, ὥσπερ φελλός | (756) ὁ ἄνεμος συστρέψει, ἐλάσει τὸν φελλὸν | ἐμπηδῶν ταῖς πνοαῖς |

744 *τῆς K. τοῖς γάμοις a*

(743) Χάρυβδιν ἐκπνέουσαν ἑλκύσας καὶ ἄξας τῷ βυθῷ. (744) ὀλίγον δὲ τερφθεὶς τοῖς τοῦ Ἄτλαντος θυγατρὸς Καλυψοῦς γάμοις (745) αὐτοσχέδιον πλοῖον καὶ ἀλίμενον (746) ἐπιβῆναι ὑπομείνῃ καὶ καρτερήσει καὶ κυβερνήσει ὁ ταλαίπωρος (747) τὴν αὐτομάτως γεγονυῖαν ναῦν κατὰ τὴν μέσην τρόπιν (748) εἰκῆ καὶ μάτην τοῖς ξυλίνοις περονίοις συμπεπλεγμένην καὶ συνειλημένην. (749) ἧς ὁποῖα μικρὸν ὁ Ποσειδῶν ἀναδοὺς καὶ ἀναφήνας (750) τῆς τοῦ ἄρσενος ἀλκυόνος γαμετῆς τοὺς ἀπτέρους νεοσσούς (751) σὺν αὐτοῖς τοῖς μέσοις ξύλοις τῆς σχεδίας καὶ τοῖς κύκλῳ ὀρθοῖς καταβαλεῖ (752) πρὸς τὸ κῦμα δύνοντα τὸν Ὀδυσσέα ἐμπεπλεγμένον τοῖς σχοινίοις. (753) ἄυπνος δὲ τοῖς ἐσωτάτοις τῆς θαλάσσης κλυδωνιζόμενος (754) τῷ πολίτῃ τῆς Θρᾳκικῆς πόλεως Ἀνθηδόνος Γλαύκῳ σύνοικος (755) γενήσεται. ἄλλος δὲ παρ' ἄλλου ἄνεμος συστρέψει ὡς πεύκης κλάδον (756) ἤτοι φελλὸν ἐμπηδῶν καὶ ἀλλόμενος τοῖς φυσήμασι.

μόλις δὲ Βύνης ἐκ παλιρροίας κακῆς
ἄμπυξ σαώσει στέρνα δεδρυφαγμένον
καὶ χεῖρας ἄκρας, αἷς κρεαγράτους πέτρας
μάρπτων ἁλιβρώτοισιν αἱμαχθήσεται
στόρθυγξι. νῆσον δ᾽ εἰς Κρόνῳ στυγουμένην
Ἄρπην περάσας, μεζέων κρεανόμον,
ἄχλαινος, ἵκτης, πημάτων λυγρῶν κόπις
τὸν μυθοπλάστην ἐξυλακτήσει γόον,
ἀρὰς τετικὼς τοῦ τυφλωθέντος δάκους.
οὔπω μάλ᾽, οὔπω — μὴ τοσόσδ᾽ ὕπνος λάβοι
λήθης Μέλανθον ἀγκλιθένθ᾽ ἱππηγέτην.

759 *κρεαγράτους editor κρεαγρεύτους ΑΠ κρεαγρεύστους Β κρεαγρέπτους C* (fortasse *κρεαγράπτους C³*) *DE κρεαγράπτους* e *T Cant.* 765 *τεθεικὼς B* 766 *τοσόσδ᾽ Bachm. τόσοσδ᾽ AD τοσσὸς δ᾽ B τοσὸν δ᾽ CE τοσόσδε*[ν] *T λάβη*[οι] *C²D* 767 *ἀγκλιθένθ᾽ editor ἐγκλιθένθ᾽ ACDE ἐγκλιθέντες B*

(757) μόλις δὲ τῆς Λευκοθέας, τῆς Ἰνοῦς· ἔστι δὲ ἐνάλιος δαίμων | ἐκ κακῆς παλιρρεύσεως | (758) περιβόλαιον σώσει | στήθη ἠσφαλισμένον | (759) καὶ εἰς τὰς ἄκρας χεῖρας | αἷστισι τὰς σκληρὰς καὶ ἐν τῷ ἅπτεσθαι ἀφαιρούσας κρέατα πέτρας | (760) καταλαμβάνων ταῖς ὑπὸ θαλάσσης βρωθεῖσιν | αἷμα χέει | (761) τοῖς ἀκρωτηρίοις, ταῖς ἀκίσι, ταῖς ἐξοχαῖς, ταῖς ὀξύτησι τῶν πετρῶν | (762) εἰς τὴν Κόρκυραν, τὴν Φαιακίαν, ἐν ᾗ ἦν κεχωσμένον τὸ δρέπανον, ᾧ ὁ Ζεὺς τὸν Κρόνον ἐξέτεμεν· καὶ γὰρ Δρεπάνη ἐκαλεῖτο τὸ πρίν | μισουμένην | (762) ἔστι μὲν ἡ δρεπάνη. νῦν μὲν τὴν Φαιακίαν νῆσον καλεῖ ἤγουν τὴν Κόρκυραν | τῶν αἰδοίων τοῦ Κρόνου. κρεανόμον δὲ τὴν δρεπάνην λέγει | (763) γυμνός. ὁ προσαίτης, πτωχός, Ὀδυσσεύς, παρὰ τὸ ἱκνεῖσθαι | βλαβῶν χαλεπῶν | ἔμπειρος | (764) τὸν μυθώδη ἐκφωνήσει θρῆνον | (765) τιμωρηθείς, ἀνταποδοὺς | τοῦ Κύκλωπος, θηρός· τὸ γὰρ δάκος θὴρ σημαίνει | (766) οὔπω λίαν, οὔπω | μὴ τοσαύτη λήθη καταλάβοι τὸν Ποσειδῶνα, ὥστε ἐπιλαθέσθαι Ὀδυσσῆος | (767) λήθης. τὸν παρ᾽ Ἀθηναίοις Μέλανθον Ποσειδῶνα | ἐγκλιθέντα | τὸν Ποσειδῶνα

760 *αἷμα χύσει a²*. error natus ex *αἱμαχ.*[θ] *αἱμαχθήσεται Bachm.* 761 *πτερῶν B* 766 *ὀδυσσέως af*

(757) μόλις δὲ τῆς Λευκοθέας ἤτοι τῆς Ἰνοῦς ἐκ τῆς κακῆς συστροφῆς τοῦ ῥεύματος (758) τὸ περιβόλαιον σώσει τὸν Ὀδυσσέα κατὰ τὰ στέρνα ἠσφαλισμένον (759) ⟨καὶ⟩ τὰς ἄκρας χεῖρας, αἷστισι τῆς τὰ κρέατα ἀγρευούσης πέτρας (760) ἁπτόμενος καὶ δρασσόμενος ταῖς ὑπὸ τῆς θαλάσσης βρωθεῖσιν ὀξύτησι τῶν πετρῶν αἱμαχθήσεται. εἰς δὲ τὴν μέσην Ἄρπην ἤτοι τὴν Κέρκυραν τὴν τῷ Κρόνῳ μισουμένην, (762) τὴν τῶν αἰδοίων κρεατόμον, περάσας (763) ἄνευ χιτῶνος, προσαίτης, συμφορῶν χαλεπῶν ἔμπειρος, (764) ὡς ἐπὶ τὸ μυθῶδες καὶ . . τὴν διήγησιν πλάττων ἐκφωνήσει τὸν θρῆνον, (765) τὰς κατάρας τιμωρηθεὶς τοῦ τυφλωθέντος θηρίου ἤγουν Κύκλωπος. (766) οὔπω λίαν, οὔπω τῶν κακῶν λήξει· μὴ τοσοῦτος δὲ ὕπνος καταλάβῃ (767) τὸν Μέλανθον καὶ Ἱππηγέτην, τουτέστι Ποσειδῶνα, κατακλιθέντα.

759 *καὶ* addidi 760 *νῆσον* pro *μέσην V* 764 post *καὶ* lacunam indicavi. *καὶ* om. *s* *τὸν θρῆνον* pro *τῶν θρήνων editor*

ἥξει γάρ, ἥξει ναύλοχον Ῥείθρου σκέπας
καὶ Νηρίτου πρηῶνας, ὄψεται δὲ πᾶν
μέλαθρον ἄρδην ἐκ βάθρων ἀνάστατον
μύκλοις γυναικόκλωψιν. ἡ δὲ βασσάρα
σεμνῶς κασωρεύουσα κοιλανεῖ δόμους,
θοίναισιν ὄλβον ἐκχέασα τλήμονος.
αὐτὸς δὲ πλείω τῶν ἐπὶ Σκαιαῖς πόνους
ἰδὼν μολοβρὸς τλήσεται μὲν οἰκετῶν
στυγνὰς ἀπειλὰς εὐλόφῳ νώτῳ φέρειν
δέννοις κολασθείς, τλήσεται δὲ καὶ χερῶν
πληγαῖς ὑπείκειν καὶ βολαῖσιν ὀστράκων.
οὐ γὰρ ξέναι μάστιγες, ἀλλὰ δαψιλὴς
σφραγὶς μενεῖ Θόαντος ἐν πλευραῖς ἔτι
λύγοισι τετρανθεῖσα, τὰς ὁ λυμεὼν

772 *κασσωρεύουσα BCDE*, lemm. *A* 774 *πλείω ABEΠs πλείους C πλείω* (*ους* superscr.) *D*

παρὰ Δηλίοις | Μέλανθος καὶ Ἱππηγέτης ἐπώνυμον Ποσειδῶνος | (768) παραγενήσεται γάρ. ἐν ᾧ αἱ νῆες εὐνάζονται ἢ οἱ ναῦται κρύπτονται | ὄνομα λιμένος ἐν Ἰθάκῃ | (769) καὶ ὄρους Ἰθάκης ἐξοχάς | ὀφθήσεται δὲ πᾶν (770) οἴκημα ὁμοῦ | ἐκ βαθμίδων πεπτωκός | (771) τοῖς μνηστῆρσι τοῖς κατωφερέσιν εἰς γυναῖκας· κυρίως δὲ μύκλος καλεῖται ἡ ἐν τῷ τραχήλῳ τῶν ὄνων ὑποδίπλωσις | μοιχοῖς | ἡ δὲ πόρνη, ἡ Βάκχη καὶ Πηνελόπη | (772) ὑπερηφάνως ἢ ἀσέμνως πορνεύουσα | ἀντὶ τοῦ κενώσει, δαπανήσει τοὺς οἴκους | (773) ταῖς εὐωχίαις τὸν πλοῦτον ἐκχέασα τοῦ ταλαιπώρου | (774) αὐτὸς δὲ πλείω τῶν ἐπ᾽ ἀριστεραῖς ὀδύνας | (775) θεασάμενος ὁ γαστρίμαργος ἢ ὁ πένης | καρτερήσει μὲν τῶν δούλων | (776) φοβεράς, ἀπὸ τοῦ στύγω, ἀπειλάς | τῷ καλὴν λοφιὰν ἔχοντι | (777) ταῖς λοιδορίαις κολασθείς | καρτερήσει δὲ τῶν χειρῶν | (778) ταῖς πληγαῖς ὑποχωρεῖν καὶ ταῖς τῶν ὀστράκων βολαῖς | (779) οὐ γὰρ ἀλλότριαι αἱ μάστιγες, ἀλλὰ διὰ σθένους | (780) ἡ σφραγὶς μενεῖ τοῦ Θόαντος ἔτι ἐν ταῖς πλευραῖς | (781) λεπτοῖς ῥάβδοις τρυπηθεῖσα | ἅστινας ὁ Θόας

768 *νᾶες B* 774 *ὀδύναις B ὀδύνας, ταῖς πύλαις τοῦ ἰλίου a ἐπὶ ταῖς σκαιαῖς τοὺς ποσίας f* 781 *λεπταῖς Bachm.*

(768) παραγενήσεται γάρ, παραγενήσεται εἰς τὸν καλούμενον Ῥείθρου σκέπας λιμένα (769) καὶ Νηρίτου ὄρους τὰς ἐξοχάς, περιφραστικῶς δὲ εἰς τὴν Ἰθακήν.

Ὄψεται δὲ πᾶν μέλαθρον ἄρδην ἐκ βάθρων· θεάσεται δὲ ὅλον (770) τὸν οἶκον ἐκ τῶν θεμελίων ἀνατετραμμένον (771) τοῖς τῶν γυναικῶν κλέπταις καὶ κατωφερέσι μνηστῆρσιν. ἡ δὲ πόρνη Πηνελόπη (772) ὑπερηφάνως πορνεύουσα κενώσει καὶ δαπανήσει τοὺς οἴκους, (773) ταῖς θυσίαις καὶ ταῖς δαψιλείαις τὸν πλοῦτον ἐκκενοῦσα τοῦ ταλαιπώρου. (774) αὐτὸς δὲ ὁ Ὀδυσσεὺς πλείω τῶν ἐπὶ Σκαιαῖς πύλαις τῆς Τροίας πόνους (775) θεασάμενος ὁ γαστρίμαργος καρτερήσει μὲν ἐκ τῶν δούλων (776) φοβερὰς ἀπειλὰς τῷ γενναίῳ νώτῳ ὑπομένειν (777) ταῖς λοιδορίαις τιμωρηθείς, καρτερήσει δὲ καὶ ἀπὸ τῶν χειρῶν (778) πληγὰς ὑποφέρειν καὶ τὰς βολὰς τῶν ὀστράκων. (779) οὐ γὰρ ξέναι αὗται αἱ μάστιγες, ἀλλὰ σφοδρὰ (780) σφραγὶς καὶ σημασία διαμενεῖ ἡ τοῦ Θόαντος ἐν ταῖς πλευραῖς ἔτι (781) ταῖς ῥάβδοις κοιλανθεῖσα καὶ τρυπηθεῖσα, ἅστινας ὁ λυμεὼν

ἐπεγκολάπτειν ἀστένακτος αἰνέσει,
ἑκουσίαν σμώδιγγα προσμάσσων δομῇ,
ὅπως παλεύσῃ δυσμενεῖς, κατασκόποις
λώβαισι καὶ κλαυθμοῖσι φηλώσας πρόμον.
ὃν Βομβυλείας κλιτὺς ἡ Τεμμικία
ὕψιστον ἡμῖν πῆμ᾽ ἐτέκνωσέν ποτε,
μόνος πρὸς οἴκους ναυτίλων σωθεὶς τάλας.
λοῖσθον δὲ καύηξ ὥστε, κυμάτων δρομεύς,
ὡς κόγχος ἅλμῃ πάντοθεν περιτριβεὶς
κτῆσίν τε θοίναις Πρωνίων λαφυστίαν
πρὸς τῆς Λακαίνης αἰνοβακχεύτου κιχὼν
σῦφαρ θανεῖται, πόντιον φυγὼν σκέπας,
κόραξ σὺν ὅπλοις Νηρίτων δρυμῶν πέλας.

784 *κατασκόπους* deinde *κατασκόποις A οις* in *ως* mutavit *A*[2] 787 *πῆμα B* *ἐτέκνωσε CDE* 790 *κόχλος A* 793 *σῦφαρ* bis scripsit *B* *σύφαρ CE* evanuit vox in *D* *πόντιον σκέπας φυγὼν AB*

(782) ἀντὶ τοῦ τύπτειν | ἄνευ στεναγμοῦ ἐπαινέσει | (783) ἑκούσιον μώλωπα | ἀποσπογγίζων τῷ σώματι | (784) ἵνα ἐνεδρεύσῃ καὶ ἀγρεύσῃ | ἐχθροῖς κατασκόποις | (785) βλάβαις καὶ δάκρυσι | ἀπατήσας τὸν πρόμον. ὅθεν φήληκες τὰ σῦκα τῇ δείξει πέπειρα, ὄντα ὠμά | (786) ὄντινα ἡ ἐν Βοιωτίᾳ κρήνη κακὸν ἀνέθρεψεν, τὸν Ὀδυσσέα | ἐξοχὴ ὄρους | ὄρος Βοιωτίας | (787) μέγιστον ἡμῖν κακόν | ἐγέννησέν ποτε, τὸν Ὀδυσσέα | (788) μόνος πρὸς τοὺς οἴκους πλέων σωθεὶς ὁ τάλας | (789) τὸν ἔσχατον δὲ ὁ λάρος· λέγει δὲ Ὀδυσσσέα | ὥσπερ τῶν κυμάτων δρομεύς | (790) ὥσπερ κογχύλος ἐν θαλάσσῃ | πανταχόθεν περιτριβείς | (791) καὶ τὴν κτῆσιν ταῖς εὐωχίαις | Κεφαληνίων ἔθνος. ἀντλουμένην | (792) τῆς ἐκ Λακεδαιμονίας Ἑλένης· καὶ γὰρ ὁ Ἴκαρος καὶ Λεύκιππος καὶ Τυνδάρεως καὶ Ἀφαρεὺς ἀδελφοί | τῆς ἐπὶ κακῶν οἰστρησάσης, πηδησάσης | καταλαβών | (793) πέμπελος γέρων | γέρων ἀποθανεῖται· τέσσαρες γὰρ ἡλικίαι γερόντων | τὴν Ἰθάκην, παρ᾽ ὅσον νῆσος οὖσα τὴν θάλασσαν σκέπει, ἐπικειμένη ἐπ᾽ αὐτήν | (794) ὁ πάνυ γέρων σὺν τοῖς ὅπλοις· πολυχρόνιον γὰρ τὸ ζῶον. λέγει δὲ Ὀδυσ-

784 *ἐχθροὺς af* *κατασκοπως* (*ως* in litura) *a*[2] 789 *τὸ Bachm.* 792 'leg. *Ἰκάριος*' *Bachm.* 793 alterum *γέρων* om. *Bachm.*

(782) Ὀδυσσεὺς ἐπιξέειν καὶ ἐπιτύπτειν ἀστενοχωρήτως ἐπαινέσει (783) καὶ ἐθελουσίαν πληγὴν τῷ σώματι προσεξαιμάσσων, (784) ὅπως ἐνεδρεύσῃ καὶ ἀγρεύσῃ τοῖς πολεμίοις κατασκόποις (785) βλάβαις καὶ κλαυθμοῖς ἀπατήσας τὸν βασιλέα Πρίαμον. (786) ὄντινα ἡ Βοιωτία ἐξοχὴ τοῦ ὄρους τοῦ καλουμένου Τεμμικία (787) μεγάλην βλάβην ποτὲ ἐγέννησε, (788) μόνος τῶν ναυτίλων πρὸς τοὺς οἴκους σωθεὶς ὁ ταλαίπωρος. (789) ἔσχατον δὲ καθάπερ καύηξ τὸ ὄρνεον, τῶν κυμάτων ὁ δρομεύς, (790) ὥσπερ κογχύλος τῇ ἅλμῃ περιτριβεὶς καὶ περιβληθεὶς (791) τὴν κτῆσίν τε ταῖς σφαγαῖς ὑπὸ τῶν Πρωνίων ἤτοι μνηστήρων λαφυσσομένην καὶ ἀπαντλουμένην (792) παρὰ τῆς ἐκ Λακεδαιμονίας ἐπὶ κακῷ οἰστρησάσης Πηνελόπης καταλαβὼν (793) καὶ λίαν γεγηρακὼς ἀποθάνῃ, τὸ θαλάττιον σκέπασμα ἤτοι τὴν ναῦν διαφυγών, (794) κόραξ σὺν τοῖς ὅπλοις τῶν θαλασσίων δρυμῶν ἐγγύς.

790 *περιβληθεὶς V* *περιθλιβεὶς* in litura *A*[2]

κτενεῖ δὲ τύψας πλευρὰ λοίγιος στόνυξ
κέντρῳ δυσαλθὴς ἔλλοπος Σαρδωνικῆς.
κέλωρ δὲ πατρὸς ἄρταμος κληθήσεται,
Ἀχιλλέως δάμαρτος αὐτανέψιος.
μάντιν δὲ νεκρὸν Εὐρυτὰν στέψει λεὼς
ὅ τ' αἰπὺ ναίων Τραμπύας ἐδέθλιον,
ἐν ᾗ ποτ' αὖθις Ἡρακλῆ φθίσει δράκων
Τυμφαῖος ἐν θοίναισιν Αἰθίκων πρόμος,
τὸν Αἰακοῦ τε κἀπὸ Περσέως σπορᾶς
καὶ Τημενείων οὐκ ἄπωθεν αἱμάτων.
Πέργη δέ νιν θανόντα, Τυρσηνῶν ὄρος,

796 *δυσαλγὴς Dp* *σαρδονικῆς B σαρδωνικῆς* (ο supra ω) *CT σαρδανικῆς* coniecit *T* 798 *ἀχιλέως TCE* 800 *ὅτ' Π* *τραμπύιας AE* *ἐδέθλοον B ἐδέθλιον CDE* 804 *ἄπωθεν d ἄποθεν AB ἄποθεν* (ω supra ο) *CDE* cf. *T* 805 *μιν V*

σεία | ὄρος Ἰθάκης | (795) ἀποκτενεῖ δὲ τύψας τὰ πλευρά | ὁ ὀλέθριος· στόνυξ δὲ πᾶν τὸ εἰς ὀξὺ λῆγον | (796) κέντρῳ δυσθεράπευτος | τῆς τρυγόνος ἰχθύος, τοῦ ἐκ Σαρδονίου πελάγους | (797) υἱὸς δὲ τοῦ πατρός | φονεὺς ὀνομασθήσεται | (798) τῆς Ἀχιλλέως γυναικὸς Μηδείας | ἐξάδελφος | (799) μαντεῖον Ὀδυσσέως ὀνομασθὲν ἀπὸ Εὐρύτου. ἔθνος Ἠπείρου | στέψει ὁ λαὸς (800) ὅτε τὸ ὑψηλὸν κατοικῶν | χώρα Ἠπείρου, ἀφ' ἧς καὶ ἔθνος Τραμπυεῖς καλοῦνται | οἰκητήριον | (801) ἐν ᾗ χώρᾳ ποτὲ πάλιν | τὸν Ἡρακλέα, υἱὸν Ἀλεξάνδρου τοῦ Μακεδόνος καὶ Βαρσίνης | Πολυσπέρχων ὁ Ἠπειρώτης | (802) ὁ Ἠπειρώτης ἐν εὐωχίαις | ἔθνους Ἠπειρωτικοῦ ἀρχηγός | (803) παρ' ὅσον Ἀλέξανδρος ὁ Μακεδὼν κατὰ μὲν πατέρα εἰς Ἡρακλέα καὶ Περσέα ἀνάγει τὸ γένος, κατὰ δὲ μητέρα εἰς Νεοπτόλεμον καὶ Ἀχιλλέα καὶ Αἰακόν | (804) Τήμενος ἀπόγονος Ἡρακλῆος | οὐ πόρρωθεν αἱμάτων | (805) ὄρος Τυρσηνίας ἡ Πέργη, ἥτις αὐτόν | τεθνηκότα τὸ Τυρσηνῶν ὄρος |

796 *Σαρδωνίου af* 799 *ἔθνος* pro *ἔθνους Bachm.* 800 *ὅ τε Bachm.* *Τραμπυεῖς Bachm.* pro *τραμπύαι B τραμπυαῖοι a τράμπιοι f* *καλεῦνται B* 801 *σμαρσίνης ἠπειρώτης* pro *καὶ Βαρσίνης B* 804 *Τήμενος* omisit *B* (in lemmate *τήμενος καὶ τημενείων*) *ἡρακλέους a*

(795) ἀποκτενεῖ δὲ τύψας τὴν πλευρὰν ὁ ὀλέθριος στόνυξ ἤτοι τὸ κέντρον (796) τὸ δυσφόρητον τοῦ Σαρδωνικοῦ ἰχθύος, τουτέστι τῆς τρυγόνος. (798) ὁ δὲ αὐτανέψιος ἤτοι ἐξάδελφος τῆς ἐξ Ἀχιλλέως ἐν τῷ ᾅδῃ γαμηθείσης Μηδείας Τηλέγονος (797) υἱὸς καὶ φονεὺς τοῦ πατρὸς Ὀδυσσέως κληθήσεται. (799) νεκρῶν δὲ μάντιν ὁ Εὐρυτὰν ἀναγορεύσει λεώς, ὅ ἐστιν ἔθνος Ἠπείρου, ὃ καὶ ἀναγορεύσει, (800) ὁπότε εἰς τὸ ὑψηλὸν οἰκητήριον κατοικῶν τῆς Τραμπυίας χώρας, (801) ἐν ᾗ ἡμέρᾳ καὶ πάλιν ποτὲ τὸν υἱὸν τοῦ Ἀλεξάνδρου Ἡρακλέα ὁ δράκων Τυμφαῖος, ὁ βασιλεὺς τῶν Μακεδόνων, ἐν ταῖς εὐωχίαις ἀποκτενεῖ, (803) τὸν ἐκ τῆς σπορᾶς τοῦ Αἰακοῦ καὶ τοῦ Περσέως τῶν ἀπογόνων (804) καὶ τοῦ Ἡρακλέος οὐ πόρρωθεν τῶν αἱμάτων καταγόμενον. (805) ἡ Πέργη δὲ αὐτὸν καὶ τὸ τῶν Τυρσηνῶν ὄρος ἀποθανόντα

ἐν Γορτυναίᾳ δέξεται πεφλεγμένον,
ὅταν στενάζων κῆρας ἐκπνεύσῃ βίον
παιδός τε καὶ δάμαρτος, ἣν κτανὼν πόσις
αὐτὸς πρὸς Ἅιδην δευτέραν ὁδὸν περᾷ,
σφαγαῖς ἀδελφῆς ἠλοκισμένος δέρην,
Γλαύκωνος Ἀψύρτοιό τ᾽ αὐτανεψίας.
χὢ μὲν τοσούτων θῖνα πημάτων ἰδὼν
ἄστρεπτον ᾄδην δύσεται τὸ δεύτερον,
γαληνὸν ἦμαρ οὔποτ᾽ ἐν ζωῇ δρακών.
ὦ σχέτλι᾽, ὥς σοι κρεῖσσον ἦν μίμνειν πάτρᾳ
βοηλατοῦντα καὶ τὸν ἐργάτην μύκλον
κάνθων᾽ ὑπὸ ζεύγλαισι μεσσαβοῦν ἔτι
πλασταῖσι λύσσης μηχαναῖς ᾠστρημένον
ἢ τηλικῶνδε πεῖραν ὀτλῆσαι κακῶν.
Ὁ δ᾽ αἰνόλεκτρον ἁρπαγεῖσαν εὐνέτης

808 *κτείνας V* *κάσις Fox Mus. Rhen. III 467* 809 *περᾶν C* 812 *τοσούτων ABCΠ τοσοῦτ^{ω}ον DE* 815 *πάτραν A πάτρας B εἰς πάτραν D* 816 *βοηλατοῦντα P βοηλατοῦντι* A* (*ι* in rasura *A*[2] *βοηλατοῦντα V*) *πηλατοῦντα B βοηλατοῦντι CDEp* 817 *μεσαβοῦν TC* 818 *ᾠστρημένον* editor *οἰστρημένον ABD* cf. *Π* *οἰστρημένῳ CE*

(806) πόλις Τυρσηνίας ἡ Γορτύνη | δέξεται κεκαυμένον | (807) ἀποθάνῃ | (808) Τηλεμάχου καὶ Κίρκης | ἥντινα ἀποκτείνας ὁ ἀνήρ | (809) αὐτὸς πρὸς Ἅιδην ἀπελεύσεται | (810) ταῖς σφαγαῖς τῆς ἀδελφῆς Κασσιφόνης | τετμημένος τὸν αὐχένα | (811) τοῦ Γλαύκου, υἱοῦ Πασιφάης καὶ Μίνωος | υἱοῦ Αἰήτου | οἱ τούτων παῖδες αὐτανέψιοι ἤγουν ἐξάδελφοι | (812) καὶ ὁ μὲν Ὀδυσσεὺς τοσούτων | σωρὸν πημάτων ἰδών | (813) ἀφ᾽ οὗ οὐκ ἂν ὑποστρέψῃ ὡς πρότερον | ὑπεισέλθῃ τὸ δεύτερον | (814) γαληνὴν ἡμέραν οὔποτε ἐν ζωῇ βλέψας | (815) ὦ ταλαίπωρε, πῶς σοι κρεῖσσον ὑπῆρχεν | μένειν ἐν τῇ πατρίδι (816) βοῦς ἐλαύνοντα | καὶ τὸν ἐργάτην ὄνον | (817) τὸν ὄνον ὑπὸ ταῖς ζεύγλαις | ὑπὸ τὰς τοῦ ζυγοῦ γλυφὰς ἔτι ζευγνύειν· μέσσαβα γὰρ αἱ γλυφαὶ τοῦ ζυγοῦ | (818) τέχναις μαινόμενον | (819) ἢ τηλικούτων πεῖραν καρτερῆσαι κακῶν |

(820) Ὁ δὲ Μενέλαος τὴν ἐπὶ κακῷ γαμηθεῖσαν αὐτῷ | ἁρπαγεῖσαν γαμέτης |

810 *τετμημένον B* 818 *μαινομένῳ a*

(806) καὶ ἐν Γορτυναίᾳ τῇ πόλει καυθέντα ὑποδέξεται, (807) ὁπόταν στενάζων τὸν θάνατον τοῦ παιδὸς Τηλεμάχου καὶ τῆς πενθερᾶς αὐτοῦ Κίρκης τὰς θανατηφόρους μοίρας ἐκπνεύσῃ, ἥντινα Κίρκην ὁ ἀνὴρ τῆς Κασσιφόνης Τηλέμαχος ἀποκτείνας (809) αὐτὸς πρὸς τὸν Ἅιδην δευτέραν ὁδὸν περάσει, (810) τῆς τοῦ Γλαύκωνος καὶ Ἀψύρτου ἐξαδέλφης Κασσιφόνης ταῖς σφαγαῖς τὸν τράχηλον τετμημένος. (812) καὶ ὁ μὲν Ὀδυσσεὺς τοσούτων βλαβῶν σωρὸν ἰδὼν (813) ἀμετάστρεπτον εἰς τὸν ᾅδην τὸ δεύτερον παραγενήσεται, (814) πρᾶον καὶ ἥσυχον ἡμέραν οὐδαμῶς ποτε ἐν τῇ ζωῇ θεασάμενος. (815) ὦ ἁμαρτωλὲ καὶ ἄδικε, ὁ τὰ ἐπισχεθῆναι ἄξια ἔργα τελειῶν, ὡς κρεῖσσον ἦν σοι ἐν τῇ πατρίδι μένειν (816) τὸν βοῦν ἐλαύνοντι καὶ τὸν ἐργαστὴν μύκλον (817) κάνθωνα ὄνον ὑπὸ ταῖς ζεύγλαις τοῦ λοιποῦ ζευγνύειν, (818) ταῖς ἐπιπλάστοις μανίαις, ταῖς μηχαναῖς μαινόμενον (819) ἢ τηλικούτων κακῶν πεῖραν ταλαιπωρῆσαι.

Ὁ δ᾽ αἰνόλεκτρον ἁρπαγεῖσαν εὐνέτης· (820) ὁ δὲ ἀνὴρ τῆς Ἑλένης Μενέλαος τὴν ἐπὶ κακῷ γαμηθεῖσαν αὐτῷ

πλᾶτιν ματεύων κληδόνων πεπυσμένος,
ποθῶν δὲ φάσμα πτηνὸν εἰς αἴθραν φυγόν,
ποίους θαλάσσης οὐκ ἐρευνήσει μυχούς;
ποίαν δὲ χέρσον οὐκ ἀνιχνεύσει μολών;
ἐπόψεται μὲν πρῶτα Τυφῶνος σκοπὰς
καὶ πέμπελον γραῦν μαρμαρουμένην δέμας
καὶ τὰς Ἐρεμβῶν ναυβάταις ἠχθημένας
προβλῆτας ἀκτάς. ὄψεται δὲ τλήμονος
Μύρρας ἐρυμνὸν ἄστυ, τῆς μογοστόκους
ὠδῖνας ἐξέλυσε δενδρώδης κλάδος,
καὶ τὸν θεᾷ κλαυσθέντα Γαύαντος τάφον

822 *αἴθραν ACD* 825 *πρῶτον C* 827 *ναυάταις DE ναυάτας C* c. gloss. *οἰκίας*

---

(821) γαμετήν, γυναῖκα ζητῶν, τὴν πελάζουσαν καὶ μιγνυμένην | τῶν προρρήσεων καὶ μαντευμάτων καὶ τῆς φήμης ἀκηκοώς | (822) πρῶτος Ἡσίοδος περὶ τῆς Ἑλένης τὸ εἴδωλον παρήγαγε. καὶ Ἡρόδοτος δὲ εἶπεν, ὅτι ἡ μὲν ἀληθινὴ Ἑλένη ἔμεινεν παρὰ τῷ Πρωτεῖ, τὸ δὲ εἴδωλον αὐτῆς συνέπλευσεν Ἀλεξάνδρῳ ἐπὶ τὴν Τροίαν | εἰς εὐδίαν, εἰς αἰθρίαν φυγόν | (823) ποίους τῆς θαλάσσης οὐ ψηλαφήσει βυθοὺς καὶ τόπους; | (824) ποίαν δὲ ξηρὰν οὐκ ἐμβατεύσει βαδίζων | (825) ἐπιβλέψει μὲν ἐν πρώτοις | τὴν Κιλικίαν λέγει | (826) τὴν ἤδη εἰς Ἅιδου πεμπομένην | τὴν ἀπολιθωθεῖσαν καὶ στηλωθεῖσαν τὸ σῶμα | (827) καὶ τὰς τῶν Ἀράβων καὶ Τρωγλοδυτῶν | ναύταις μεμισημένας | (828) προβεβλημένους σκοπέλους, τόπους | θεάσεται δὲ τοῦ ταλαιπώρου | (829) τῆς Μύρρας, πόλεως Φοινίκης, τὸ ἰσχυρὸν ἄστυ. Μύρρα ἡ νῦν καλουμένη Βύβλος ἐν Φοινίκῃ, περὶ ης Διονύσιος ὁ περιηγητής·

Βύβλον τ' ἀγχίαλον καὶ Σιδῶναν ἀνθεμόεσσαν |

Ἥρας θυγάτηρ. ἐπισχετικὰς τῶν ὠδίνων τῶν τικτουσῶν γυναικῶν. τὰς ἐν τῷ τίκτειν μογεῖν . . | (830) τόκους ἐξέφυσεν | ὁ τῆς μυρρίνης κλάδος | (831) καὶ τὸν τῇ θεᾷ κλαυσθέντα | τοῦ Ἀδώνιδος παρὰ Κυπρίοις· ἡ δὲ εὐθεῖά ἐστιν Γαύας |

822 Hes. fr. *56 G. 275 K.* Her. *II 113* *φυγὼν B* 829 *Dion. per. 912* post *μογεῖν* excidit *ποιούσας* 830 leg. *ἐξέλυσεν*

γυναῖκα ἁρπαγεῖσαν ζητῶν καὶ πυνθανόμενος τῆς φήμης, (822) ποθῶν δὲ τὸ πτηνὸν φάντασμα τὸ εἰς οὐρανὸν διαφυγόν, (823) ποίους τῆς θαλάσσης τόπους ἐσωτάτους οὐκ ἐρευνήσει; (824) ποίαν δὲ στερεὰν γῆν παραγενόμενος οὐ ψηλαφήσει; (825) θεάσεται μὲν πρῶτον τὴν Κιλικίαν (826) καὶ τὴν ἤδη εἰς Ἅιδου πεμπομένην γραῦν μαρμαρωθεῖσαν τῷ σώματι (827) καὶ τὰς τῶν Ἀράβων προνενευκυίας πέτρας τοῖς ναύταις μεμισημένας. θεάσεται δὲ καὶ τῆς ταλαιπώρου (829) Μύρρας τὸ ἰσχυρὸν πόλισμα, τὸ λεγόμενον Βύβλον, ἥστινος τὰς ἐν τῷ τίκτειν οἰμωγὰς ποιούσας (830) ὠδῖνας ὁ δενδρώδης κλάδος διέλυσε, (831) καὶ τὸν παρὰ τῇ θεᾷ Σχοινῆδι καὶ Ἀρέντα καὶ Ξένῃ Ἀφροδίτῃ κλαυσθέντα Ἀδώνιδος τάφον τὸν ὑπὸ τῶν Μουσῶν φθαρέντα,

823 *ποίους* pro *ποίας* editor

Σχοινῆδι μουσόφθαρτον Ἀρέντᾳ Ξένῃ,
κραντῆρι λευκῷ τόν ποτ' ἔκτανε πτέλας.
ἐπόψεται δὲ τύρσιας Κηφηνίδας
καὶ Λαφρίου λακτίσμαθ' Ἑρμαίου ποδὸς
δισσάς τε πέτρας, κέπφος αἷς προσήλατο
δαιτὸς χατίζων. ἀντὶ θηλείας δ' ἔβη
τὸν χρυσόπατρον μόρφνον ἁρπάσας γνάθοις,
τὸν ἡπατουργὸν ἄρσεν' ἀρβυλόπτερον.
παιφάσσεται δὲ τοῦ θεριστῆρος ξυρῷ
φάλλαινα δυσμίσητος ἐξινωμένη,

832 *σχοινῇδι B* et in lemmate *A* *σχοινῆδι A²* (*σχοινῆδι V η* in *ι* mutavit *V²*) *σχοινίδι CD σχοινῖδι E* cf. *P* *ἀρρέντα C* 834 *κηφινίδας B* (*α* ex *ο*) *κηφηίδας CDE Κηφηίδας* praefert *T* 835 *ἑρμέου TCDE* 836 *δὲ B* 837 *χατίζον A* (*ο* videtur secundae manus esse. *χατίζων V* sed *ω V²*) *ἀντὶ — ἔβη* om. *B* *θηλείας* in *θαλείας* mutavit *A²* 838 *ἁρπάσαν A* (*ν* est secundae manus. *ἁρπάσας V*) 840 *πεφήσεται V* 841 *φάλαινα BDE* *ἐξενουμένῃ B*

(832) τῇ Ἀφροδίτῃ ἐν Σάμῳ. Σχοινὶς δέ ἐστιν ἡ εὐθεία | τὸν ὑπὸ τῶν Μουσῶν φθαρέντα | τῇ Ἀφροδίτῃ | (833) τῷ ὀδόντι | ὅντινά ποτε. ὁ κάπρος, παρὰ Λέλεξιν. ἔκτεινεν | (834) θεάσεται δὲ τὰς πόλεις καὶ τύρσεις, ἀνοικοδομήματα | τὰς Αἰθιοπικάς, ἀπὸ Κηφέως, βασιλέως Αἰθιόπων | (835) καὶ Λαφρίου πηγήν· Λάφριος ὁ φιλόξενος, λέγει δὲ τὸν Ἑρμῆν ἐπιθετικῶς. φασὶ δὲ, ὅτι ἐν Αἰθιοπίᾳ Ἑρμῆς φυλάττων κατὰ βουλὴν τοῦ Διὸς τὴν Ἰώ, ἵνα μὴ βλαβῇ ὑπὸ τῆς Ἥρας, καὶ διψήσας ἐλάκτισε τὴν γῆν καὶ ἀνέδωκεν ὕδωρ· ὅθεν καὶ Ἑρμοῦ πτέρνα καλεῖται | (836) τὰς δύο δὲ πέτρας | νῦν τὸ κῆτος καταχρηστικῶς. αἷς προσεπήδησεν | (837) εὐωχίας χρήζων | (838) τὸν Περσέα λέγει. μόρφνον δὲ ἀετόν. ἁρπάσας σιαγόσι | (839) τὸν μάγειρον τοῦ κήτους, τὸν ἀνδρεῖον | τὸν ἔχοντα πτερωτὰ ὑποδήματα· ἀρβύλη γὰρ εἶδος ὑποδήματος | (840) φονευθήσεται δέ | τοῦ Περσέως τῷ ξίφει ἢ δρεπάνῳ· ξυρὸν δὲ διὰ τὴν ἀκμήν | (841) νῦν ἡ Γοργώ, ἡ πολυμίσητος | ἐκνευρισμένη |

(833) ὅντινά ποτε τῷ λευκῷ ὀδόντι ὁ χοῖρος ἀπέκτεινε. (834) θεάσεται δὲ τὰς Αἰγυπτίους πόλεις (835) καὶ τοῦ Ἑρμοῦ τὴν πηγὴν ἐκ τοῦ ποδὸς αὐτοῦ γενομένην (836) καὶ τὰς δισσὰς πέτρας, ἐν αἷς τὸ κῆτος προσήλατο (837) χρῇζον τῆς εὐωχίας τῆς Ἀνδρομέδας. ἀντὶ δὲ αὐτῆς ἐπορεύθη (838) τὸν αὐτὸν Περσέα, τὸν ἑαυτοῦ ἀνδρεῖον μάγειρον, τὸν πτερωτὰ ὑποδήματα ἔχοντα ταῖς σιαγόσιν ἁρπάσας. (840) φονευθήσεται δὲ τῷ ξίφει τοῦ Περσέως (841) ἡ πολυμίσητος Γοργὼ ἐκνευριζομένη

833 *λέλιξιν B* cf. *s* om. *a* *παρὰ τὸ πελίζειν a²* 835 *λάβῃ B λαβῇ, ἡ δὲ βλαβῇ a²* om. *f* *βλαβῇ* (e *T*) *Bachm.* 837 *τῆς ἀνδρομέδης λέγει* add. *f* *ἀντὶ τῆς ἀνδρομέδης δ' ἔβη* add. *a²* 841 leg. *ἐκνενευρισμένη*

832 *των ὑπὸ* pro *τὸν ὑ.* editor

ἱπποβρότους ὠδῖνας οἴξαντος τόκων
τῆς δειρόπαιδος μαρμαρώπιδος γαλῆς,
ὃς ζῳοπλαστῶν ἄνδρας ἐξ ἄκρου ποδὸς
ἀγαλματώσας ἀμφελύτρωσεν πέτρῳ,
λαμπτηροκλέπτης τριπλανοῦς ποδηγίας.
ἐπόψεται δὲ τοὺς θερειπότους γύας
καὶ ῥεῖθρον Ἀσβύσταο καὶ χαμευνάδας
εὐνάς, δυσόδμοις θηρσὶ συγκοιμώμενος.
καὶ πάντα τλήσεθ' οὕνεκ' Αἰγύας κυνός,
τῆς θηλύπαιδος καὶ τριάνορος κόρης.

842 *ἱπποβότους p* 844 *ὁ ABΠ* *ζωοπλαστῶν V* 845 *ἀμφελυτρώσει V* *πετρῷ AΠ πτερῷ B πέτρων CDET* 847 *τὰς V* *θερειβρότους B* *γυίας ACD* 848 *χαμευνάδων A* (*ων A²* *χαμευνάδας V*) 849 *ἢ δυσίδμους ἢ δυσόδμοις T* *δυσόδμους*^{οις} *E* *δυσόδμους ABCΠ* 850 *τλήσετ' AB* *οὕνεκ' Steph.* *εἵνεκ' V* *Αἰγύας Steph.* recipi iusserunt *Ritschl Opp. I 699* *GHerm. V 236* *Ἀργείας V*

(842) ἐπειδὴ δύο παῖδας ἔτεκεν, ἵππον μὲν τὸν Πήγασον, βροτὸν δὲ ἄνδρα τὸν Χρυσάορα | τοῦ Περσέως | (843) τῆς ἐκ τοῦ τραχήλου τεκούσης Γοργόνος, καθάπερ αἱ γαλαῖ, τὸν Χρυσάορα καὶ Πήγασον | τῆς ἀπολιθούσης τοὺς ἀνθρώπους διὰ τῶν ὀφθαλμῶν αὐτῆς | τῆς Γοργόνος· καὶ αὐτὴ γὰρ ὥσπερ ἡ γαλῆ ἐκ τοῦ στόματος ἐγέννησεν Πήγασον καὶ Χρυσάορα | (844) ὁ ἀπολιθῶν ἄνδρας Περσεύς | ἀπ' ἄκρου τοῦ ποδός· λείπει δὲ τὸ μέχρι τῆς κορυφῆς | (845) ἀγάλματα καὶ ἀνδριάντας ποιήσας | ἐξαπλώσει, περισκεπάσει λίθῳ | (846) ὁ Περσεύς, ἐπειδὴ ἐκ τῶν ὄπισθεν κρατήσας τὸν ὀφθαλμὸν τῆς Γοργόνης ἔκλεψε τὴν κεφαλήν· ἢ ὁ τὸν ὀφθαλμὸν ἐκ τῶν ὄπισθεν ὑποκλέψας τῶν Φορκίδων | ἀντὶ τριπλῆς ὁδηγίας | (847) ἐπιβλέψει δὲ | τὴν Αἴγυπτον λέγει· τῷ γὰρ θέρει ὁ Νεῖλος ἀρδεύει αὐτήν | μέτρον γῆς ὁ γύης | (848) τοῦ Νείλου, τοῦ Λιβυκοῦ ποταμοῦ· Ἀσβύσται γὰρ ἔθνος Λιβύης | καὶ τὰς φώκας | (849) κοίτας δυσώδεις | τοῖς κήτεσιν εὐναζόμενος | (850) καὶ πάντα καρτερήσει ἕνεκα τῆς Ἑλένης | (851) διότι ἄρρεν οὐκ ἔτεκεν | τῆς πολυάνορος καὶ πολυάνδρου ἤγουν πολλοὺς ἄνδρας ἐχού-

843 *ἐπὶ* pro *ἐκ B* 846 *τὸν ὀφθαλμὸν* e *τῶν ὀφθαλμῶν B* *τῶν ὀφθαλμῶν af* *ἔκοψε f* cf. *S* 849 leg. *συνευναζόμενος*

(842) τὰς ἱπποτρόφους ὠδῖνας τῶν τόκων τοῦ Περσέως ἀνοίξαντος (843) τῆς ἐκ τοῦ τραχήλου τεκούσης καὶ ἀπομαρμαρούσης τοὺς ἀνθρώπους Γοργόνος· (844) ὁ ἀπολιθῶν δὲ τοὺς ἀνθρώπους Περσεὺς ἐκ τοῦ ἄκρου ποδὸς μέχρι τῆς κεφαλῆς (846) καὶ τὸν ὀφθαλμὸν ἐκ τῶν ὄπισθεν ὑποκλέψας τῆς τριπλῆς Γοργόνος (845) καὶ τῷ λίθῳ αὐτοὺς περισκεπάσει ἤγουν ἀπολιθώσει. (847) θεάσεται δὲ καὶ ἐν θέρει ἀρδευομένας ὁδοὺς (848) καὶ τὸ ῥεῖθρον τοῦ Νείλου ποταμοῦ καὶ τὰς χαμαὶ κοιμωμένας (849) φώκας, εἰς δυσόδμους κοίτας ταῖς φώκαις συγκοιμώμενος. (850) καὶ πάντα καρτερήσει χάριν τῆς ἀναιδοῦς Ἑλένης (851) τῆς πολυάνδρου καὶ μίαν θῆλυν παῖδα τεκούσης κόρης.

846 *τὸν ὀφθαλμὸν* pro *τῶν ὀφθαλμῶν V* 845 *αὐτοὺς* pro *αὐτῆς V*

ἥξει δ' ἀλήτης εἰς Ἰαπύγων στρατὸν
καὶ δῶρ' ἀνάψει παρθένῳ Σκυλλητίᾳ
Ταμάσσιον κρατῆρα καὶ βοάγριον
καὶ τὰς δάμαρτος ἀσκέρας εὐμάριδας.
ἥξει δὲ Σῖριν καὶ Λακινίου μυχούς,
ἐν οἷσι πόρτις ὄρχατον τεύξει θεᾷ
Ὁπλοσμίᾳ φυτοῖσιν ἐξησκημένον.
γυναιξὶ δ' ἔσται τεθμὸς ἐγχώροις ἀεὶ
πενθεῖν τὸν εἰνάπηχυν Αἰακοῦ τρίτον
καὶ Δωρίδος, πρηστῆρα δαΐου μάχης,
καὶ μήτε χρυσῷ φαιδρὰ καλλύνειν ῥέθη

853 *Σκυλλητίᾳ editor Σκυλητρίᾳ V Συλητρίᾳ Thes. VII 459 A* 854 *Ταμάσσιον GHerm. V 244 Mein.* ad *Steph. Τάμασος Ταμάσιον V κρητῆρα AB* 855 *εὐμαρίδας V* 856 *δὲ σῖριν d δὲ σίριν ACE δ' $\overset{s}{\text{ἐσῖριν}}$ B* *δ' ἐς σῖριν D*

σης Ἑλένης· πεντάλεκτρος γὰρ γέγονεν· ἢ τῆς τρεῖς μόνους· ὁ γὰρ Θησεὺς οὐκ ἔγνω αὐτὴν παῖδα οὖσαν καὶ ὁ Ἀχιλλεὺς κατ' ὄναρ μόνον αὐτῇ ἐμίγη, οἵτινες οὐκ ἂν εἶεν αὐτῆς ἄνδρες κυρίως, εἰ μὴ Μενέλαος καὶ Πάρις καὶ Διίφορος | (852) παραγενήσεται πλανήτης | εἰς τοὺς Ἰάπυγας· ἔστι δὲ ἔθνος Ἰταλίας, οἱ Καλαβροί | (853) καὶ δῶρα δώσει καὶ ἀναθήσει τῇ Ἀθηνᾷ | διὰ τὰ ἐν πολέμοις σκῦλα | (854) ἀπὸ Ταμάσου, πόλεως Κύπρου· ἡ δὲ εὐθεία ἐστι Τάμασος | καὶ ἀσπίδα | (855) καὶ τὰς τῆς γαμετῆς. ἀσκέρας δὲ εἴδη ὑποδημάτων | τὰς δυσχερῶς ποιηθείσας, κατὰ ἀντίφρασιν | (856) παραγενήσεται εἰς Σῖριν, πόλιν Μακεδονίας καὶ ποταμὸν Ἰταλίας | ἀκρωτηρίου Κρότωνος | (857) ἐν οἷς ἡ Θέτις κῆπον | κατασκευάσει θεᾷ, τῇ Ἥρᾳ | (858) φυτοῖς ἐξειργασμένον | (859) ταῖς δὲ γυναιξὶν ἔσται | νόμος ταῖς ἐγχωρίοις ἀεί | (860) πενθεῖν τὸν ἐννέα πήχεις ἔχοντα | τὸν Ἀχιλλέα· Αἰακοῦ γὰρ Πηλεύς, οὗ Ἀχιλλεὺς τρίτος | (861) τῆς μητρὸς Θέτιδος, ἧς Θέτις, ἧς Ἀχιλλεὺς τρίτος | ἄνεμον. Ὅμηρος· διαπονήσουσα, ἀντὶ τοῦ φυσῶσα | τῆς κοπτικῆς | (862) καὶ μήτε τῷ χρυσῷ | τὰ φαιδρὰ καλλωπίζειν σώματα |

851 *πεντάλεκτρος* cf. *143* *Δηίφοβος Bachm.* 855 *εἶδος af* *τὰς μὴ — a* 856 *πόλις Ἰταλίας* in litura *a*[2] 857 *κῆπος B* 858 *τῇ ἥρᾳ φ. ἐ. a* 861 *διαπρήσσουσα Bachm.*

(852) παραγενήσεται δὲ πλανήτης εἰς τὸ τῶν Ἰαπύγων στράτευμα (853) καὶ δῶρα ἀναθήσει τῇ παρθένῳ Ἀθηνᾷ (854) κρατῆρα Ταμάσιον καὶ ἀσπίδα ἐξ ἀγρίου βοὸς κατασκευασθεῖσαν (855) καὶ τὰς δυσχερῶς ποιηθείσας τῆς γαμετῆς Ἑλένης ἀσκέρας, ἅπερ εἰσὶν εἴδη ὑποδημάτων. (856) παραγενήσεται δὲ εἰς τὴν Σίριν, πόλιν Ἰταλίας, καὶ τοὺς ἐσωτάτους τόπους τοῦ Λακινίου, ὅ ἐστιν ἀκρωτήριον Κρότωνος, (857) ἐν οἷς τόποις ἡ Θέτις κῆπον τῇ θεᾷ Ἥρᾳ κατασκευάσει τοῖς φυτοῖς ἐξειργασμένον. (859) ταῖς γυναιξὶ δὲ ταῖς ἐγχωρίοις ἀεὶ ἔσται νόμος (860) πενθεῖν τὸν ἀπ' Αἰακοῦ καὶ τῆς Δωρίδος τρίτον ἐννεάπηχυν Ἀχιλλέα, τὸν ἄνεμον τοῦ καυστικοῦ πολέμου, (862) καὶ μήτε τῷ χρυσῷ τὰ λαμπρὰ σώματα εὐτρεπίζειν

μήθ᾽ ἁβροπήνους ἀμφιβάλλεσθαι πέπλους
κάλχῃ φορυκτούς, οὕνεκεν θεᾷ θεὸς
χέρσου μέγαν στόρθυγγα δωρεῖται κτίσαι.
ἥξει δὲ ταύρου γυμνάδας κακοξένους
πάλης κονίστρας, ὅντε Κωλῶτις τεκνοῖ
Ἀλεντία κρείουσα Λογγούρου μυχῶν,
Ἅρπης Κρόνου πήδημα Κογχείας θ᾽ ὕδωρ
κάμψας Γονοῦσάν τ᾽ ἠδὲ Σικανῶν πλάκας,
καὶ θηροχλαίνου σηκὸν ὠμηστοῦ λύκου,
ὃν Κρηθέως ἄμναμος ὁρμίσας σκάφος
ἔδειμε πεντήκοντα σὺν ναυηγέταις.
κρόκαι δὲ Μινυῶν εὐλιπῆ στελγίσματα
τηροῦσιν ἅλμης, οὐδὲ φοιβάζει κλύδων

864 *οὕνεκα CDE* *θορυκτοὺς A* *θεὸς θεᾶ E* 867 *μωλῶτις* (κ superscr.) *C*[2] *κολῶτις AB* 868 *λογγούρω C*, correxit *C*[2] *λογγάρου D* *λογγόρου E* 870 *κάμψας Γονοῦσάν τ᾽* om. *B* *Γονοῦσσαν GHerm. V 235 Thes. II 718 D* *τ᾽* om. *C* 874 *κρόκκαι B* *κρόκαι A* (*κρόκκαι V*) *στλεγίσματα DE* 875 *τείρουσιν BP*

(863) μήτε ἁβρῶς καὶ εὐφυῶς πεποιημένους, εὐφυεῖς | περιβάλλεσθαι πέπλους | (864) τῇ πορφύρᾳ βαπτοὺς ἢ πλουμαρικούς | χάριν τοῦ. τῇ θεᾷ ἡ θεός | (865) τῆς ξηρᾶς τὸ μέγα ἀκρωτήριον | χαρίζεται κτίσαι | (866) ἀφίξεται δὲ εἰς τὰς τοῦ Ἔρυκος. διὰ τὸ ἀνδρεῖον | γυμνικάς, κακούσας τοὺς ἐπιξενωμένους | (867) τὰς παλαίστρας | ὃν ἡ Ἀφροδίτη γεννᾷ | (868) ἡ Ἀφροδίτη. ἐκ τόπου. βασιλεύουσα | λιμένος Σικελίας | (869) τῆς δρεπάνης, ἐν ᾗ Ζεὺς τεμὼν τὰ αἰδοῖα Κρόνου ἐν Σικελίᾳ ἔκρυψεν | λίμνης Σικελίας | (870) κάμψας πόλιν Σικελίας | καὶ τῶν Σικελῶν τὰς πλάκας | (871) καὶ τοῦ Ἡρακλέους ναόν | τοῦ τὰ ὠμὰ ἐσθίοντος λύκου Ἡρακλῆος | (872) ὃν ὁ Ἀργοῦς ἀρχηγὸς Ἰάσων· Κρηθέως γὰρ Αἴσων, Αἴσονος δὲ Ἰάσων | ὁρμίσας τὴν ναῦν, τὴν Ἀργώ | (873) κατεσκεύασε σὺν πεντήκοντα ναύταις | (874) αἱ παραθαλάσσιαι δὲ ψῆφοι | τῶν Ἀργοναυτῶν | λιπαρὰ ἀποξύσματα | (875) κα-

863 leg. *εὐφυῶς* et *εὐφυεῖς* 864 *ὁ θεός B* *θεός. θέτις a* 865 *κτίσαι τοῦ λακινίου a* 869 *ταμὼν τεμὼν B* 870 *κάμψας π. Σ.* om. *B* 874 *παραθαλάσσιοι af* 875 *φυλάττουσι* in litura *a*[2] *τηροῦσι f*

(863) μήτε εὐφυεῖς καὶ καλοὺς περιβάλλεσθαι χιτῶνας (864) τῇ πορφύρᾳ βεβαμμένους, διότι ἡ θεὸς Θέτις τῇ θεᾷ Ἥρᾳ (865) μέγα ἀκρωτήριον τόπων ἀμείβεται ἐνοικεῖν καὶ ἱερὸν ἔχειν. (866) παραγενήσεται δὲ εἰς τὰς κακοξένους γυμνικὰς παλαίστρας τοῦ Ἔρυκος, ὅντινα, ἡ Κωλῶτις καὶ Ἀλεντία Ἀφροδίτη γεννᾷ, ἡ βασιλεύουσα τῶν ἐσωτάτων τόπων τῆς Λογγούρου λίμνης, (869) καὶ εἰς τὸ πήδημα τῆς τοῦ Κρόνου δρεπάνης καὶ εἰς τὸ ὕδωρ τῆς Κογχίας λίμνης (870) ἀνακάμψας, εἰς τὴν Γονοῦσαν λίμνην καὶ εἰς τὰς πλάκας τῶν Σικελῶν, (871) καὶ εἰς τὸν ναὸν τοῦ θηροχλαίνου Ἡρακλέους, τοῦ πολλὰ ἐσθίοντος λύκου, (872) ὅντινα ὁ ἀπόγονος τοῦ Κρηθέως Ἰάσων ὁρμίσας τὴν Ἀργὼ (873) σὺν ν′ Ἀργοναύταις ἱδρύσατο. (874) οἱ δὲ παραθαλάσσιοι ψῆφοι τῶν Ἀργοναυτῶν τὰ λιπαρὰ ἀποξύσματα (875) φυλάττουσιν, ἅτινα οὐδὲ ὁ τῆς θαλάσσσς κλύδων οὐδὲ ἡ ὀμβρία χιὼν ἐπὶ πολὺν χρόνον ἀποπλύνουσα καθαίρει.

οὐδ' ὀμβρία σμήχουσα δηναιὸν νιφάς.
Ἄλλους δὲ θῖνες οἵ τε Ταυχείρων πέλας
μύρμηκες αἰάξουσιν ἐκβεβρασμένους
ἔρημον εἰς Ἄτλαντος οἰκητήριον
θρυλιγμάτων δέρτροισι προσσεσηρότας,
Μόψον Τιταιρώνειον ἔνθα ναυβάται
θανόντα ταρχύσαντο τυμβείαν θ' ὕπερ
κρηπῖδ' ἀνεστήλωσαν Ἀργῴου δορὸς
κλασθὲν πέτευρον, νερτέρων κειμήλιον,
Αὔσιγδα Κινύφειος ᾗ τέγγων ῥόος
νασμοῖς λιπαίνει, τῷ δὲ Νηρέως γόνῳ

876 *ὀμβρίαν σμήχουσαν B* 877 *ταυχείρων AB* (*υ* post *α* inseruit *B*[1]) cf. *Π* *τευχείρων CDE* cf. *T* 878 *αἰάξουσιν CDpT αἰάζουσιν ABP ἀιάζουσιν*, supra *θρηνήσουσιν E* 880 *θρυλιγ* evanuit in *D* *προσσεσηπότας Kiesl.* ap. *Muell. I 155* 881 *τιταιρώνιον BCD* *ναυάται CD* 882 *θ'* om. *B* *ὕπερ V* 883 *ἀργώου CDE* folium versus 883—894 continens excidit in *E*

884 *πέταυρον C* 885 *Αὔσιγδα editor Αὐσίγδα V αὐσίδα A*[2] (γ supra scr.) *κιννύφειος C κιννίφειος D* *ἦν V*

ταπονοῦσι τῆς θαλάσσης | οὐδὲ καθαίρει ὁ κλύδων | (876) οὐδὲ ἡ ὀμβρία πλύνουσα | ἐπὶ πολὺν χρόνον χιών |

(877) Ἄλλους δὲ οἱ αἰγιαλοί. περὶ Γουνέως, Προθόου καὶ Εὐρυπύλου | καὶ οἱ πλησίον Ταυχείρων· ἔστι δὲ πόλις Λιβύης, οὐδετέρως· Ταύχειρα γάρ | (878) αἱ ὕφαλοι πέτραι ἠχοῦσιν· σημαίνει καὶ τὸ θρηνοῦσιν· παρὰ γὰρ τὸ αἶ σχετλιαστικὸν ἐπίρρημα γίνεται | ἐκριφέντας | (879) εἰς τὸ ἔρημον τοῦ Ἄτλαντος | τὸ ἐν Λιβύῃ ὄρος λέγει | (880) συντριμμάτων, ξυσμάτων. ἀντίστροφον τὸ σχῆμα | σώμασιν | διεστηκότας, κεχηνότας | (881) ἀπόγονον Τιταιρῶνος Μόψον·

Μόψος δ' Ἀμπυκίδης Τιταρήσιος |

ἐκεῖσε οἱ ἐπιβάται | (882) ἀποθανόντα ἔθαψαν | καὶ σανίδα ὑπεράνω | (883) βάσιν ἀνέστησαν σημεῖον | ἐκ τῆς Ἀργοῦς νηός | (884) κλασθὲν ξύλον πλατύ, ἡ σανὶς πλατεῖα | τῶν νεκρῶν ἀπόθετον | (885) πόλιν Λιβύης. τοῦ Κίνυφος ποταμοῦ | ἥντινα βρέχων ὁ ῥοῦς | (886) τοῖς ὕδασιν ἀρδεύει | τῷ δὲ Νηρέως παιδί |

878 *δὲ* pro *καὶ B* 879 *ἄτλαντος οἰκητήριον a* 881 *Hes. A. 181*

(877) τοὺς δὲ λοιποὺς Ἀργοναύτας οἱ αἰγιαλοὶ καὶ αἱ πλησίον τῶν Ταυχείρων πόλεως (878) ὕφαλοι πέτραι στενάξουσιν ἐξερριμμένους (879) εἰς τὸ τοῦ Ἄτλαντος οἰκητήριον ἔρημον (880) τοῖς ξύσμασι τῶν σωμάτων προσκεχηνότας, (881) ὅπου τὸν Τιταιρῶνος ἀπόγονον Μόψον ἀποθανόντα οἱ Ἀργοναῦται ἔθαψαν καὶ ὑπεράνωθεν τυμβείαν (883) βάσιν ἐκ τῶν κατωτέρων μερῶν τῆς Ἀργοῦς, κλασθὲν ὑπερκείμενον ξύλον ἤτοι πλατεῖαν σανίδα, εἰς στήλην ἔστησαν, ὡς ἂν γνωρίζοιτο ἐκεῖσε, (885) καὶ ὁ τοῦ Κίνυφος ποταμοῦ ῥοῦς τὴν Αὐσίγδα πόλιν βρέχων (886) τοῖς ὕδασιν ἀρδεύει. καὶ τῷ υἱῷ δὲ τοῦ Ποσειδῶνος

Τρίτωνι Κολχὶς ὤπασεν δάνος γυνὴ
χρυσῷ πλατὺν κρατῆρα κεκροτημένον,
δείξαντι πλωτὴν οἶμον, ᾗ διὰ στενῶν
μύρμων ἐνήσει Τῖφυς ἄθραυστον σκάφος.
Γραικοὺς δὲ χώρας τουτάκις λαβεῖν κράτη
θαλασσόπαις δίμορφος αὐδάζει θεός,
ὅταν παλίμπουν δῶρον ἄγραυλος λεῴ
Ἕλλην' ὀρέξῃ νοσφίσας πάτρας Λίβυς.
εὐχὰς δὲ δειμαίνοντες Ἀσβύσται κτέαρ
κρύψουσ' ἄφαντον ἐν χθονὸς νειροῖς μυχοῖς,
ἐν ᾗ Κυφαίων δύσμορον στρατηλάτην
ναύταις συνεκβράσουσι Βορραῖαι πνοαὶ

887 *ὤπασε ACD* 888 om. *B* *κεκρ[ο]ατημένον C²* 891 *κράτος C* 892 *αὐδάξει V* 893 *λεῷ GHermanni* coniecturam *V 245* recepi mutato accentu *λεὼς V* 896 *νειροῖς ABCDEpT* *ν[ει]ηροῖς P* *νει[η]ροῖς s* 898 *συνεκβράσουσι pT* *συνεκβράσσουσι ABCDEP* *βο[ρ]ραῖαι A* *βορρέαι E* *βορέαι C* *βορρυίαι D*

(887) Ποσειδῶνι, θαλασσίῳ δαίμονι | ἡ Μήδεια, ἡ ἐκ Κολχίδος | ἔδωκε δῶρον γυνή· λέγει δὲ χρυσοῦν κρατῆρα | (888) χρυσῷ πλατὺν κρατῆρα | (889) ἀποδείξαντι τὴν πλευστικὴν ὁδόν | ἐν ᾗ διὰ τῶν στενῶν (890) θαλασσίων πετρῶν | ἐλάσει καὶ πέμψει ὁ κυβερνήτης Τῖφυς | ἄκλαυστον Ἀργὼ ναῦν | (891) τοὺς Ἕλληνας δὲ τοὺς τῆς Λιβύης χώρας | τηνικαῦτα, τότε | κρατήσειν | (892) ὁ θαλάσσιος Ποσειδῶν· τὰ γὰρ ἄνω εἶχεν ἀνθρώπου, τὰ δὲ κάτω ἰχθύος | φωνήσει θεός | (893) ὅταν ἐκ δευτέρου καὶ ἐξοπίσω τὸ δῶρον | ὁ ἐν ἀγροῖς αὐλιζόμενος λαός | (894) τῷ Ἕλληνι παράσχῃ | ἀποχωρίσας τῆς πατρίδος ὁ Λίβυς | (895) τὸ δῶρον δὲ τῆς Μηδείας, τὸν κρατῆρα εὐλαβούμενοι καὶ φοβούμενοι. νῦν τοὺς χρησμοὺς | οἱ Λίβυες τὸ κτῆμα | (896) κρύψουσιν ἀφανῆ | ἐν τοῖς καθύγροις ἢ κοίλοις ἐσχάτοις τῆς γῆς | (897) ἐν ᾗ τὸν ἐκ Κύφου πόλεως ὄντα Γουνέα· Κῦφος γὰρ πόλις Θεσσαλίας | δυσθάνατον στρατηλάτην | (898) σὺν τοῖς ναύταις ἐκρίπτουσι | αἱ τοῦ

887 *ἔδωκε — κρατῆρα* post *κρατῆρα* 888 *B* (litteris *β. α* rectum ordinem indicavit) 890 *ἄκλαστον a* 893 *λε[αο]ὼς B* 896 *γῆς τόποις a* 897 *κύφης B*

(887) Τρίτωνι ἡ γυνὴ Μήδεια δῶρον ἐχαρίσατο (888) κεχαρισμένη μέγαν κρατῆρα (889) δείξαντι πλευστὴν ὁδόν, ἔνθα διὰ τῶν στενῶν (890) πετρῶν τῆς θαλάσσης ὁ κυβερνήτης Τῖφυς ἄκλαστον τὸ σκάφος ἐλάσει καὶ ὁδηγήσει. (891) τοῖς δὲ Ἕλλησι (892) χρήσει καὶ φωνήσει ὁ δύο μορφὰς ἔχων Τρίτων θεὸς (891) τηνικαῦτα κρατήσειν τὰς ἀρχὰς τῆς χώρας τῶν Λιβύων, (893) ὁπόταν ἐξοπίσω ὁ ἐν ἀγρῷ διανυκτερεύων Λίβυς λαὸς κλέψας τῆς πατρίδος τὸν κρατῆρα Ἕλληνι ἀνδρὶ παρέξει. (895) τοὺς δὲ χρησμοὺς φοβούμενοι οἱ Λίβυες τὸ κτῆμα ἤγουν τὸν κρατῆρα (896) ἀφανῆ ποιήσουσιν ἐν τοῖς ἐσωτάτοις καὶ κοίλοις τόποις τῆς γῆς, (897) ἐφ' ἥτινι γῇ τὸν κακοθάνατον τῶν Κυφαίων στρατηγέτην Γουνέα (898) σὺν τοῖς ναύταις αὐτοῦ Βορρέου πνοαὶ ἐκρίψουσι

890 *ἄκλαστον A²* (*ἄκλα* secundae est manus) *ἀκλαυστον V*

τόν τ' ἐκ Παλαύθρων ἔκγονον Τενθρηδόνος,
Ἀμφρυσίων σκηπτοῦχον Εὐρυαμπίων,
καὶ τὸν δυνάστην τοῦ πετρωθέντος λύκου
ἀποινοδόρπου καὶ πάγων Τυφρηστίων.
ὧν οἳ μὲν Αἰγώνειαν ἄθλιοι πάτραν
ποθοῦντες, οἳ δ' Ἐχῖνον, οἳ δὲ Τίταρον
Ἶρόν τε καὶ Τραχῖνα καὶ Περραιβικὴν
Γόννον Φάλανναν τ' ἠδ' Ὀλοσσόνων γύας
καὶ Κασταναίαν, ἀκτέριστον ἐν πέτραις
αἰῶνα κωκύσουσιν ἠλοκισμένοι.
Ἄλλην δ' ἐπ' ἄλλῃ κῆρα κινήσει θεός,

899 *ἔγγονον AB* *τερθρηδόνος CE* 900 *ἀμφρυσίων B* cf. *P* et *Steph.* *ἀφρυσίων CE* *ἀφρυσσίων AD* 902 *Τυμφρηστίων V* 903 *πέτραν C* 904 *ἠδ' CE* *ἠδὲ CE* 905 *Τραχῖνα Steph.* *Τρηχῖνα V* *περαιβικὴν ABCE* 906 *γόνον CDE* *Φάλαννάν Bachm.* cf. *Steph.* *φάλαννόν A* cf. *p* *φάλλαννόν B* *φάλανόν DE* *φάλανον C* cf. *P* *γυίας ADE* 909 *ἐπ' ἄλλην BΠ*

βορρᾶ πνοαί, ἤγουν ὁ βορρᾶς | (899) τῶν ἐκ τῶν Παλαύθρων· ἔστι δὲ πόλις Μαγνησίας | τὸν Πρόθουν | (900) τῶν Μαγνήτων ἄρχοντα· Ἄμφρυσος γὰρ ποταμὸς Μαγνησίας πόληος | Μαγνήτων, ἀπὸ τόπου | (901) καὶ τὸν ἀνδρεῖον | τοῦ λύκου, τοῦ νεμομένου τὸ ἐν Θεσσαλίᾳ λυκοειδὲς πεδίον, ὃν ἀπελίθωσεν ἡ Θέτις | (902) τοῦ φαγόντος τὰ δῶρα τοῦ Πηλέως ἢ τοῦ δόντος ἄποινα τὸ ἀπολιθωθῆναι ὑπὲρ τοῦ δόρπου αὐτοῦ | καὶ ἐξοχῶν, ἀκρωτηρίων | ὄρους Μηλιέων | (903) ὧντινων οἱ μὲν τὴν τῶν Μηλιέων πόλιν Αἰγώνειαν | οἱ ταλαίπωροι πατρίδα | (904) ἀγαπῶντες, οἱ δὲ πόλιν Θεσσαλίας | οἱ δὲ πόλιν, οἱ δὲ ὄρος Μηλιέων | (905) πόλις Θεσσαλίας | Περαιβικοί ἔθνος Ἠπείρου | (906) Γόννος καὶ Φάλανος πόλεις Περαιβίας | καὶ τῶν Ὀλοσσόνων τὴν γῆν· ὁ δὲ γύης μέτρον γῆς | (907) πόλιν Μαγνησίας | ἄθαπτον ἐν ταῖς πέτραις | (908) αἰῶνα θρηνήσουσιν | κατατετρωμένοι, ὑπὸ τῶν πετρῶν διεφθαρμένοι |

(909) Ἄλλην δὲ φθορὰν ἐπ' ἄλλην πέμψει ὁ θεός |

899 *τὸν Bachm.* 901 *ὃ B* 902 *ὑπὸ B* 905 *Περραιβοὶ Bachm.* 906 *φά$\overset{\lambda}{\text{λ}}$ανος B* *Περραιβίας Bachm.*

(899) τόν τε υἱὸν τοῦ Τεθρηδόνος Πρόθοον, τὸν τῶν Παλαύθρων (900) καὶ Ἀφρυσίων καὶ Εὐρυαμπίων Μαγνήτων βασιλέα (901) καὶ τὸν τοῦ ἀποπετρωθέντος λύκου δυνάστην (902) τοῦ φαγόντος τὰ ἄποινα τοῦ Πηλέως καὶ τὸν τῶν ἀκρωτηρίων τοῦ ὄρους τῶν Μηλιέων βασιλέα Εὐρύπυλον. (903) ὧντινων οἱ μὲν ἄθλιοι τὴν Αἰγώνειαν πόλιν καὶ πατρίδα τῶν Μηλιέων (904) ποθοῦντες, οἱ δὲ τὴν Ἐχῖνον, οἱ δὲ τὴν Τίταρον (905) τήν τε Ἶρον καὶ Τρηχῖνα καὶ Περαιβικὴν (906) Γόνον Φαλαννόν τε καὶ τὰς ὁδοὺς τῶν Ὀλοσσόνων (907) καὶ τὴν Κασταναίαν, αἵτινές εἰσι πόλεις Λιβύης, ἄταφον ἐν ταῖς πέτραις (908) εἰς αἰῶνα θρηνήσουσιν ἐσπαραγμένοι. (909) ἄλλην δὲ ἐπὶ ἄλλην θανατηφόρονμοῖραν καὶ χαλεπὴν συμφορὰν πρὸ τῆς ἐπανόδου δωρούμενος ὁ θεὸς κινήσει.

904 *τὴν Ἐχῖνον* pro *τὸν Ἐχῖνον V* 905 *περαιβικὴν* pro *περαβικὴν V*

λυγρὰν πρὸ νόστου συμφορὰν δωρούμενος.
Τὸν Αἰσάρου τε ῥεῖθρα καὶ βραχύπτολις
Οἰνωτρίας γῆς κεγχρίνῃ βεβρωμένον
Κρίμισα φιτροῦ δέξεται μιαιφόνον —
αὐτὴ γὰρ ἄκραν ἄρδιν εὐθυνεῖ χεροῖν
Σάλπιγξ ἀποψάλλουσα Μαιώτην πλόκον —,
Δύρα παρ᾽ ὄχθαις ὅς ποτε φλέξας θρασὺν
λέοντα ῥαιβῷ χεῖρας ὥπλισε Σκύθῃ
δράκοντ᾽, ἀφύκτων γομφίων λυροκτύπῳ.
Κρᾶθις δὲ τύμβους ὄψεται δεδουπότος
εὐρὰξ Ἀλαίου Παταρέως ἀνακτόρων,

910 *λυγρὴν V* *πρὸς B* cf. *P* 911 *δ᾽* post *τὸν* delevi 913 *κρίμισσα BCE* evanuit haec vox in *D* *δέξηται B* *μιαιφόνου*[ον] *C* 914 *ἄρδιν ἄκραν C* 917 *ὤπλισεν B* 918 *λυροκτύπον*[ω] *T* *λυροκτύπων BP* *λυροκτύπων*[ον] *C* *λυροκτυπον A* (accentus super *υ* erasus, item post *ο* aliquid erasum est: *λυροκτύπω V*, sed *ω* tertiae est manus) *λυροκτύπον DE* cf. *ps*

(910) χαλεπὴν πρὸ τῆς ἐπανόδου | συμφορὰν παρέχων |
(911) Ποταμὸς Κρότωνος | καὶ μικρὰ πόλις | (912) Οἰνωτροὶ ἔθνος Ἰταλίας | εἶδος ὄφιος ἡ κεγχρίνη· ἔλαβεν δὲ εἶδος ἀντὶ εἴδους | (913) πόλις μικρὰ Ἰταλίας | κορμοῦ· λέγει δὲ τοῦ Ἀλεξάνδρου | ὑποδέξεται τὸν φόνοις μαινόμενον | (914) τὴν ἀκμὴν τοῦ βέλους | ταῖς χερσὶν εὐθυνεῖ | (915) ἐπώνυμον Ἀθήνης· ἀποψάλλουσα δὲ ἀποκινοῦσα | Σκυθικὸν. πλόκον τὴν νευράν | (916) παρὰ ταῖς τοῦ Δύρα ποταμοῦ Τραχῖνος ὄχθαις | ὅστις ποτὲ φλέξας τὸν ἰσχυρὸν λέοντα, τὸν Ἡρακλέα | (917) τῷ ἀγκύλῳ καὶ σκολιῷ τὰς χεῖρας | Σκύθῃ | (918) δράκοντι, τῷ τόξῳ τοῦ Ἀχιλλέως τῶν μὴ ἀποτυχόντων | τῶν οἰστῶν, τῶν βελῶν, διὰ τὸ δάκνειν τοὺς τιτρωσκομένους δίκην γαμφιλῶν | τῶν ποιούντων ἦχον μετὰ τῆς νευρᾶς | (919) ὁ δὲ Κρᾶθις ποταμὸς Κρότωνος τοὺς τάφους | θεάσεται τοῦ ἀναιρεθέντος | (920) ἐκ πλαγίου | ἐπώνυμα Ἀπόλλωνος | ἱερῶν οἴκων |

910 *πρὸς B* 911 *μακρὰ B* *πόλις.* *τὸν Φιλοκτήτην λέγει a* 912 *ὄφεως af* 916 *Τραχῖνος* pro *τρυχίνου Bachm.* 918 'leg. *Ἡρακλέος*' *Bachm.* *ἀποφυγόντων B* *γαμφιλῶν* cf. *94. 266* v. l. carminis.

Τὸν δ᾽ Αἰσάρου τε ῥεῖθρα καὶ βραχύπτολις Οἰνωτρίας γῆς κεγχρίνῃ βεβρωμένον· (911) τὸν δὲ ὑπὸ ὄφεως κεγχρίνης βεβρωμένον καὶ τοῦ κορμοῦ Ἀλεξάνδρου τὸν αἵμασι μιαινόμενον Φιλοκτήτην τὰ ῥεῖθρα τοῦ Αἰσάρου ποταμοῦ καὶ ἡ μικρὰ πόλις τῆς Οἰνωτρίας γῆς Κρίμισσα δέξεται. (914) αὕτη γὰρ ἡ Σάλπιγξ Ἀθηνᾶ τὴν ἀκμὴν καὶ ἄκραν τοῦ βέλους ἐν ταῖς χερσὶ τοῦ Φιλοκτήτου εὐθυνεῖ κατ᾽ Ἀλεξάνδρου ἀποπέμπουσα τὸν Σκυθικὸν τῆς νευρᾶς κτύπον. (916) ὅστις ποτὲ Φιλοκτήτης παρὰ ταῖς ὄχθαις τοῦ Δύρα ποταμοῦ καύσας τὸν ἰσχυρὸν (917) εὐρόκτυπον λέοντα Ἡρακλέα τῷ ἐπικαμπεῖ Σκυθικῷ αὐτοῦ τόξῳ καὶ τῷ μὴ ἀποτυγχάνοντι τῶν βελῶν τὰς χεῖρας ὥπλισεν. (919) ὁ δὲ Κράθις, ποταμὸς Κρότωνος, τοὺς τάφους τοῦ Φιλοκτήτου θεασάμενος ἀναιρεθέντος (920) ἐκ πλαγίου τῶν ἱερῶν τοῦ Ἀλαίου καὶ Παταρέως Ἀπόλλωνος,

917 *λυρόκτυπον Bachm.* *εὐρύκτυπον* bis *s*

Ναύαιθος ἔνθα πρὸς κλύδων᾽ ἐρεύγεται.
κτενοῦσι δ᾽ αὐτὸν Αὔσονες Πελλήνιοι
βοηδρομοῦντα Λινδίων στρατηλάταις,
οὓς τῆλε Θερμύδρου τε Καρπάθου τ᾽ ὀρῶν
πλάνητας αἴθων Θρασκίας πέμψει κύων
ξένην ἐποικήσοντας ὀθνείους χθόνα.
ἐν δ᾽ αὖ Μακάλλοις σηκὸν ἔγχωροι μέγαν
ὑπὲρ τάφων δείμαντες αἰανῆ θεὸν
λοιβαῖσι κυδανοῦσι καὶ θύσθλοις βοῶν.
Ὁ δ᾽ ἱπποτέκτων Λαγαρίας ἐν ἀγκάλαις,
ἔγχος πεφρικὼς καὶ φάλαγγα θουρίαν,
πατρῷον ὅρκον ἐκτίνων ψευδώμοτον,

922 excidit folium versus 922—950 continens in *E* 924 *θερμόδρου A* (ύ supra ό) (υ prope erasum. *θερμύδρου V*) *τε* om. *C* 926 *ἐποικήσαντας BCP* *ὀθνείαν V* *κόνιν CD* 927 *Μακέλλοις Cant.* 929 *κυδαίνουσι BP* 930 *λαγρίας B* *λαγγρίας C* (*λαγαρίας* in scholiis) *λαγγαρίας D*

---

(921) ὅπου ὁ Ναύαιθος, ποταμὸς Κρότωνος | πρὸς τὴν θάλασσαν εἰςβάλλει | (922) ἀποκτενοῦσι δ᾽ αὐτόν | οἱ τὸ γένος εἶχον ἀπὸ Πελλήνης τῆς ἐν Πελοποννήσῳ, ᾤκουν δ᾽ ἐν Ἰταλίᾳ | (923) ἐν βοῇ τρέχοντα, θέοντα, ὅ ἐστιν βοηθοῦντα | Ῥοδίων· Λίνδος δὲ πόλις Ῥόδου. στρατηλάταις | (924) οὕστινας πόρρωθεν Θερμύδρου λιμένος Ῥόδου | καὶ τῶν Καρπάθου ὀρῶν· Κάρπαθος δὲ νῆσος πλησίον τῆς Κῶ | (925) πλανωμένους ὁ ψυχρὸς Θρασκίας | πέμψει, ὁ ἀναιδὴς κύων, διὰ τὸ σφοδρῶς πνεῖν | (926) ξένην καὶ ἀλλοτρίαν μετοικήσαντας | ξένην καὶ ἀλλοτρίαν γῆν | (927) ἐν τοῖς Μακάλλοις δὲ δή. ἔστι δὲ πόλις Ἰταλίας | μέγαν ναὸν οἱ ἐγχώριοι | (928) ὑπεράνω τῶν τάφων κατασκευάσαντες | διηνεκῆ καὶ αἰωνίαν τὴν θεόν | (929) σπονδαῖς γεραίρουσι | νῦν θυσίαις καὶ θύμασι βοῶν |

(930) Ὁ δὲ τὸν δούρειον κατασκευάσας ἵππον Ἐπειός | ἐν ἀγκάλαις τῆς Λαγαρίας· ἔστιν δὲ πόλις Ἰταλίας | (931) τὸ δορὺ φοβηθείς | καὶ τὴν πολεμικὴν τάξιν | (932) ἀποδιδοὺς τὸν πατρικὸν ὅρκον | ψεύδορκον |

924 *μυδρος* pro *Θερμ. B* *λίμνης Bf* 928 *τὴν* om. *Bachm.* 930 *λαγρίας B*

(921) ὅπου ὁ Ναύαιθος, ποταμὸς Ἰταλίας, τὸν κλύδωνα ἐρεύγεται. (922) ἀποκτενοῦσι δὲ καὶ αὐτὸν οἱ Ἰταλοὶ καὶ οἱ ἄποικοι τῆς Πελλήνης τῆς ἐν Πελοποννήσῳ (923) συμμαχοῦντα τοῖς τῶν Ῥοδίων στρατιώταις, (924) οὕστινας πόρρωθεν τῶν ὁρίων τοῦ Θερμύδρου λιμένος καὶ τῶν Καρπάθου νήσων (925) πεπλανημένους ὁ Θρακικὸς ἰσχυρὸς κύων Βορρᾶς πέμψει (926) ἐπὶ ξένην καὶ ἀλλοτρίαν κατοικήσοντας. (927) ἐν δὲ δὴ τοῖς Μακάλλοις, ὅ ἐστι πόλις τῆς Ἰταλίας, ναὸν μέγαν οἱ ἐγχώριοι (928) ὑπεράνω τῶν τάφων τοῦ Φιλοκτήτου κατασκευάσαντες αἰώνιον καὶ διηνεκῆ θεὸν (929) ταῖς σπονδαῖς καὶ θυσίαις τῶν βοῶν δοξάσουσιν. (930) ὁ δὲ τὸν δούρειον ἵππον κατασκευάσας Ἐπειός, διὰ τὸν πατρῷον ψευδώμοτον ὅρκον τιμωρηθείς, τὸ δόρυ πεφοβημένος καὶ τὴν ὁρμὴν καὶ ἰσχυρὰν παράταξιν τοῦ πολέμου, ἐν ταῖς ἀγκάλαις τῆς Λαγαρίου, πόλεως Ἰταλίας, παραγενήσεται,

ὃν ἀμφὶ μήλων τῶν δορικτήτων τάλας
πύργων Κομαιθοῦς συμπεφυρμένων στρατῷ
στεργοξυνεύνων οὕνεκεν νυμφευμάτων
Ἀλοῖτιν ἔτλη τὴν Κυδωνίαν Θρασὼ
ὁρκωμοτῆσαι τόν τε Κρηστώνης θεὸν
Κανδάον᾽ ἢ Μάμερτον ὁπλίτην λύκον,
ὁ μητρὸς ἐντὸς δελφύος στυγνὴν μάχην
στήσας ἀραγμοῖς πρὸς κασίγνητον χεροῖν,
οὔπω τὸ Τιτοῦς λαμπρὸν αὐγάζων φάος
οὐδ᾽ ἐκφυγὼν ὠδῖνας ἀλγεινὰς τόκων —
τοιγὰρ πόποι φύξηλιν ἤνδρωσαν σπόρον,
πύκτην μὲν ἐσθλόν, πτῶκα δ᾽ ἐν κλόνῳ δορὸς
καὶ πλεῖστα τέχναις ὠφελήσοντα στρατόν.

933 *πάλας* int. lin. *C*[2] 935 *οὕνεκα BCD*, lemm. *A* 936 *κλυδωνίαν D* *θαρσὼ* (ρ superscr.) *C*[2] 938 *κανδάονος B κανδάον D ἠμάμερτον B ἡμάμερτον A μαμερτὸν D* 940 *στήσας ἀραγμοῖς* om. *B* 945 *ὠφελήσοντα d ὠφελήσαντα ABCDΠ*

---

(933) ὅντινα περὶ τῶν προβάτων ἢ τῶν κτημάτων ὅλων, ἀπὸ μέρους | τῶν ἐκ δοράτων κτηθέντων ὁ ἄθλιος | (934) Κομαιθὼ θυγάτηρ Πτερελάου | συμπεφοβημένων τῆς πόλεως τῷ στρατῷ | (935) χάριν τῶν ἐπὶ συνοικήσει καὶ ὁμιλίᾳ στερχθέντων | νυμφευμάτων τῆς Κομαιθοῦς ἢ τῆς Ἀλκμήνης· διχῶς γὰρ νοητέον | (936) ἐκαρτέρει τὴν Ἀθηνᾶν | ἐπώνυμα Ἀθηνᾶς τὰ τρία. Θαρσὼ δὲ διὰ τὴν ἀνδρείαν | (937) ὅρκον ὀμόσαι, ἐπιορκῆσαι | καὶ τῆς Θρᾴκης θεόν, ἀπὸ πόλεως Κρηστώνης | (938) ἐπώνυμα Ἄρεως | ἔνοπλον λύκον, διὰ τὸ ἰσχυρόν | (939) ὁ τῆς μητρὸς ἔσωθεν τῆς μήτρας, ὁ Πανοπεύς· δίδυμος γὰρ ἦν | φοβερὰν μάχην | (940) πρὸς τὸν ἀδελφὸν τὰς χεῖρας | (941) οὔπω τὸ τῆς ἡμέρας· Τιτὼ εὐθεῖα | τὸ λαμπρὸν φῶς αὐγάζων | (942) οὐδὲ τὰς ὠδῖνας ἐκφυγὼν τὰς ἀλγεινὰς τῶν τοκετῶν | (943) τοιγὰρ οἱ θεοὶ φυγάδα, δειλόν. ὅθεν καὶ τὸ ὢ πόποι τινές ὦ θεοί ἢ Μοῦσαι παρ᾽ Ὁμήρῳ. ἄνδρα γεννηθῆναι ἐποίησαν τὸν σπόρον | (944) ἐν πυγμῇ γενναῖον καὶ ἀγαθόν | δειλὸν δ᾽ ἐν τῷ δόρατι, παρὰ τὸ πτήσσειν | (945) καὶ ἐν ταῖς τέχναις πολλάκις | καὶ τὸν στρατὸν ὠφελήσαντα |

934 *πετρελάου B* 940 *στήσας σπαραγμοῖς ἢ πυγμαῖς πρὸς — af* 943 *σοὶ γὰρ B*

(933) ὅντινα ὅρκον ὁ ταλαίπωρος αὐτοῦ πατὴρ Πανοπεὺς περὶ τῶν κτημάτων τῶν διὰ τοῦ πολέμου αὐτοῖς κτηθέντων (934) ἐκ τῆς πόλεως τῆς Κομαιθοῦς θυγατρὸς Πτερελάου τῶν ἐν τῷ στρατῷ μεμολυμένων (935) χάριν τῶν στερχθέντων τῶν γάμων Ἀλκμήνης καὶ Ἀμφιτρύωνος (936) ἐκαρτέρησε τὴν Ἀλοῖτιν καὶ Κυδωνίαν καὶ Θρασὼ Ἀθηνᾶν (937) ἐπιορκῆσαι καὶ τὸν ἐκ τῆς Θρᾴκης Κανδάονα ἢ Μάμερτον θεὸν Ἀρέα τὸν πολεμιστὴν λύκον, (939) ὁ ἔσωθεν τῆς μήτρας τῆς μητρὸς αὐτοῦ Πανοπεὺς στήσας φοβερὰν μάχην πρὸς τὸν ἀδελφὸν τοῖς σπαραγμοῖς τῶν χειρῶν (941) οὔπω τὸ τῆς ἡμέρας λαμπρὸν φάος βλέπων (942) οὐδὲ τὰς χαλεπὰς ὠδῖνας τῶν τόκων ἐκφυγών. (943) τοιγαροῦν οἱ θεοὶ τὸν υἱὸν αὐτοῦ φυγάδα ἄνδρα ἐποίησαν, (944) ἐν μὲν τῇ πυγμῇ ἀγαθὸν καὶ γενναῖον, ἐν δὲ τῷ πολέμῳ τοῦ δόρατος δειλὸν (945) καὶ πλεῖστα ἐν τῇ τεκτονικῇ τὸν στρατὸν ὠφελήσαντα.

939 *ὁ* pro *ὃν V*

ὃς ἀμφὶ Κῖριν καὶ Κυλιστάνου γάνος
ἔπηλυς οἴκους τῆλε νάσσεται πάτρας.
τὰ δ' ἐργαλεῖα, τοῖσι τετρήνας βρέτας
τεύξει ποτ' ἐγχώροισι μέρμερον βλάβην,
καθιερώσει Μυνδίας ἀνακτόροις.
Ἄλλοι δ' ἐνοικήσουσι Σικανῶν χθόνα
πλαγκτοὶ μολόντες, ἔνθα Λαυμέδων τριπλᾶς
ναύταις ἔδωκε Φοινοδάμαντος κόρας,
ταῖς κητοδόρποις συμφοραῖς δεδηγμένος,
τηλοῦ προθεῖναι θηρσὶν ὠμησταῖς βορὰν
μολόντας εἰς γῆν ἕσπερον Λαιστρυγόνων,
ὅπου συνοικεῖ δαψιλὴς ἐρημία.
αἳ δ' αὖ παλαιστοῦ μητέρος Ζηρυνθίας
σηκὸν μέγαν δείμαντο δωτίνην θεᾷ,

946 *Κυλιστάνου* editor *κυλιστάρου A* (*ρ* e *ν*. *κυλιστάρου V*) *B κυλιστάρ-*
οῦσιν
νου CD 952 *μολόντες* (*ας* supra) *C*[2] (aberravit huc *a v. 956*) *λαομέδων* (*αυ* supra) *C*[2] (*ο* ex *ι C*[2]) *λαμέδων A λαομέδων B* 955 om. *B* 956 *μολοῦσιν C* 958 *ζηριυνθίας B*

(946) ὅστις πέρὶ τὸν Κῖριν, ποταμὸν Ἰταλίας· Κῖρις εὐθεῖα καὶ Κυλίσταρος | καὶ τοῦ Κυλιστάρου, ποταμοῦ Ἰταλίας, τὸ ὕδωρ | (947) ὁ μετανάστης καὶ ξένος οἴκους | πόρρω τῆς πατρίδος οἰκήσει | (948) τούτοις δὲ τὰ ἐργαλεῖα | κατασκευάσας. νῦν τὸν δούρειον ἵππον | (949) τοῖς ἐγχωρίοις ποτὲ ποιήσει | φροντίδος ἀξίαν βλάβην | (950) καθιερώσει τῆς Ἀθηνᾶς | τοῖς βασιλείοις |

(951) Οἱ λοιποὶ δ' ἐνοικήσουσιν | τὴν τῶν Σικελῶν γῆν | (952) πλανῆται ἐλθόντες | ὅπου ὁ Λαομέδων, ὁ τῆς Σικελίας βασιλεύς, τρεῖς | (953) τοῖς ναύταις ἐδωρήσατο | τοῦ Φοινοδάμαντος κόρας, θυγατέρας | (954) ταῖς δοθείσαις θηρίοις βοράν | συμφοραῖς πεπληγμένος ἢ τετρωμένος | (955) (956) ἀπελθόντας εἰς γῆν δυτικήν | τῶν Λεοντίνων τῶν ἐν Σικελίᾳ· ἔστιν δὲ ἔθνος ἀνθρωποφάγων | (957) ἔνθα συνοικεῖ πάνυ πολλὴ ἐρημία | (958) τοῦ καταπαλαίοντος τοὺς ξένους Ἔρυκος | τῆς Ἀφροδίτης μητρός | (959) μέγαν ναὸν ᾠκοδόμησαν | τῇ θεᾷ δωρεὰν ἤτοι ἀπαρχήν |

947 *ξένους B* 955 *πόρρωθε προθεῖναι ὠμοφάγοις θηρσὶ τροφὴν a πόρρωθεν προβαλεῖν ὠ. θ. τ. f* 956 leg. *ἀνθρωποφάγον* 958 *Ἔρυκος s ἐρύκου Ba*

(946) ὅστις περὶ τὸν Κῖριν ποταμὸν καὶ τοῦ Κυλιστάρου τὸ ὕδωρ (947) ὁ ξένος καὶ μετανάστης πόρρω τῆς πατρίδος τοὺς οἴκους κατασκευάσει. (948) τὰ γὰρ ἐργαλεῖα αὐτοῦ ἐν τούτοις ποτὲ τορνεύσας χαλεπὴν βλάβην τοῖς ἐγχωρίοις δεσπόταις ἤγουν τοῖς Τρωσὶ τὸν δούρειον ἵππον κατασκευάσει (950) καὶ ⟨εἰς⟩ τῆς Μυνδίας Ἀθηνᾶς ἱερὸν ἀναθήσει. (951) οἱ δὲ λοιποὶ πλανῆται παραγενόμενοι εἰς τὴν τῶν Σικελῶν γῆν κατοικήσουσιν, ὅπου ὁ Λαομέδων τὰς τρεῖς (953) θυγατέρας τοῦ Φοινοδάμαντος τοῖς ναύταις ἔδωκε, (954) τετρωμένος ταῖς κητοδόρποις συμφοραῖς τῆς αὐτοῦ θυγατρός, (955) πόρρω παραγενομένους εἰς τὴν ἑσπερίαν γῆν τῶν Λαιστρυγόνων, ὅ ἐστιν ἔθνος ἀνθρωποφάγον, τοῖς ὠμοφάγοις θηρίοις τροφὴν προθεῖναι, (957) ἔνθα πολλὴ ἐρημία συνυπάρχει. (958. 960) αὗται δὲ δὴ τὸν θάνατον καὶ τὰς μονοκοίτους καὶ ἐρήμους καθέδρας διὰ τῆς τοῦ Ἔρυκος μητρὸς Ἀφροδίτης φυγοῦσαι (959) μέγαν ναὸν δωρεὰν τῇ θεᾷ κατεσκεύασαν,

950 *εἰς* addidi *ἱερῷ V*

μόρον φυγοῦσαι καὶ μονηκοίτους ἕδρας,
ὧν δὴ μίαν Κριμισός, ἰνδαλθεὶς κυνί,
ἔζευξε λέκτροις ποταμός· ἡ δὲ δαίμονι
τῷ θηρομίκτῳ σκύλακα γενναῖον τεκνοῖ,
τρισσῶν συνοικιστῆρα καὶ κτίστην τόπων.
ὃς δὴ ποδηγῶν πτόρθον Ἀγχίσου νόθον
ἄξει τρίδειρον νῆσον εἰς Ληκτηρίας,
τὸν Δαρδανείων ἐκ τόπων ναυσθλούμενον.
Ἐγέστα τλῆμον, σοὶ δὲ δαιμόνων φραδαῖς
πένθος μέγιστον καὶ δι᾽ αἰῶνος πάτρας
ἔσται πυρὸς ῥιπαῖσιν ἠθαλωμένης.
μόνη δὲ πύργων δυςτυχεῖς κατασκαφὰς
νήπαυστον αἰάζουσα καὶ γοωμένη
δαρὸν στενάξεις. πᾶς δὲ λυγαίαν λεὼς

960 *μονηκοίτους ΑΒΠ μονηκοίτους* (οι supra) *C μονοικήτους E μονο∗κήτους D μονοικήτους* (η οι supra) *T* 961 *Κριμισὸς* Bachm. *κριμισσὸς BCDE κριμησὸς A* 965 *γόνον C γρ. νόθον* supra *γόνον E* 966 *ληκτηρίαν V* 967 *τῶν V* 968 *ἔγεστα E αἰγέστα ADC²* (*ἐγέστα C*) 972 *νήπυστον A* (*α* inseruit *A³*) 973 *στενάζει CE*

(960) τὸν θάνατον ἐκφυγοῦσαι καὶ μονοκοίτους καὶ ἐρήμους καθέδρας | (961) ποταμὸς Σικελίας ὁ Κριμισσός | ὁμοιωθεὶς κυνί | (962) ὁ ποταμὸς ταῖς κοίταις. ἐμίγη νῦν | ἡ δὲ τῷ δαίμονι (963) τῷ θηρομίκτῳ σκύλακα | ἀνδρεῖον γεννᾷ | (964) τρισσῶν πόλεων κτίστην· λέγει δὲ τὸν Ἐγέστην | καὶ πόλεων κτίστην Ἐγέστας, Ἔρυκος καὶ Ἀτάλλας | (965) ὅστις δὴ Ἐγέστης ποδηγῶν | τὸν νόθον Ἀγχίσου Ἔλυμον | (966) ἄξει εἰς Σικελίαν, διὰ τὸ τρία ἔχειν ἄκρα | εἰς τὴν πανταχόθεν ὑπὸ θαλάσσης τερματουμένην | (967) ἐκ τῶν Δαρδάνου τόπων | πλέοντα | (968) ὦ Ἐγέστα ταλαίπωρε· ἔστιν δὲ πόλις Σικελίας, ἥτις διηνεκῶς ὀδύρεται τὰς συμφορὰς τῆς Τροίας ὑπὲρ πάσας τὰς πόλεις | σὺ δὲ τοῖς χρησμοῖς τῶν θεῶν | (969) καὶ μέγιστον πένθος δι᾽ αἰῶνος τῆς πατρίδος | (970) γενήσεται ταῖς ὁρμαῖς τοῦ πυρός | κεκαυμένης | (971) μόνη δὲ τῶν πύργων | τὰς δυστυχεῖς καταπτώσεις | (972) ἀκατάπαυστον ὀδυρομένη | καὶ κλαίουσα | (973) ἐπὶ πολὺν χρόνον στενάξεις | πᾶς

960 *ἢ ἐρήμους?* 964 *τριῶν af* 968 leg. *σοὶ*

(960. 961) ὧντινων δὴ μιᾷ ὁ Κριμισσὸς ποταμός, ὁμοιωθεὶς κυνί, ἐν ταῖς κοίταις συνεγένετο· ἡ δὲ τῷ θηρομίκτῳ δαίμονι τὸν γενναῖον Αἰγέστην γεννᾷ, (964) συνοικήτορα καὶ κτίστην τριῶν πόλεων. (965) ὅστις δὴ ὁδηγῶν τὸν νόθον υἱὸν Ἀγχίσου Ἔλυμον (966) εἰς τὴν πανταχόθεν ὑπὸ τῆς θαλάσσης λήγουσαν νῆσον Σικελίαν ἀπάξει (967) ἐκ τῶν Δαρδανίων τόπων πλέοντα. (968) ὦ ταλαίπωρε Αἰγέστα, πόλις Σικελίας, ταῖς τῶν δαιμόνων διδαχαῖς μέγιστόν σοι πένθος ὑπὲρ τῆς πατρίδος διὰ τοῦ αἰῶνος (970) ἔσται ταῖς τοῦ πυρὸς βολαῖς κεκαυμένης. (971) μόνη δὲ σὺ τῶν πόλεων τὰς δυστυχεῖς ἐκπορθήσεις τῆς Ἰλίου (972) ἀκατάπαυστον κλαίουσα καὶ ὀδυραμένη (973) ἐπὶ πολὺν χρόνον στενάξεις. πᾶς δὲ ὁ λαὸς ἀβρόχῳ τρόπῳ

961 *μιᾷ* pro *μίαν V*

ἐσθῆτα προστρόπαιον ἐγχλαινούμενος
αὐχμῷ πινώδης λυπρὸν ἀμπρεύσει βίον.
κρατὸς δ' ἄκουρος νῶτα καλλυνεῖ φόβη,
μνήμην παλαιῶν τημελοῦσ' ὀδυρμάτων.
Πολλοὶ δὲ Σῖριν ἀμφὶ καὶ Λευτερνίαν
ἄρουραν οἰκήσουσιν, ἔνθα δύσμορος
Κάλχας ὀλύνθων σισυφεὺς ἀνηρίθμων
κεῖται, κάρα μάστιγι γογγύλῃ τυπείς,
ῥείθροισιν ὠκὺς ἔνθα μύρεται Σίνις,
ἄρδων βαθεῖαν Χωνίας παγκληρίαν.
πόλιν δ' ὁμοίαν Ἰλίῳ δυσδαίμονες
δείμαντες ἀλγυνοῦσι Λαφρίαν κόρην
Σάλπιγγα δῃώσαντες ἐν ναῷ θεᾶς
τοὺς πρόσθ' ἔδεθλον Ξουθίδας ᾠκηκότας.

974 *πρὸς τρόπαιον CEΠs πυρος τρόπαιος B* 976 *φόβῃ ΑΠ φοβῇ B* 978 *λευταρνίαν ACDE* 981 *κάραν E* 982 *σί^{ν}ρις E* 987 *ἔδεθλον CD ξουθί^{δ}ας A^2 ξουθίδ^{ας}ος C^2 ξουθίδος E* c. gloss. *τῆς ἰωνίας*

δὲ ὁ λαὸς θρηνητικήν, μελαιναν | (974) ἐσθῆτα διὰ τὸ Ἑλληνικὸν τρόπαιον | ἐνδυόμενος, ἀμφιεννύμενος | (975) ἀβρόχῳ, τῇ ἀλουσίᾳ ῥυπαρός | λυπηρὸν βίον μετὰ κακοπαθείας διάξει | (976) ἀκούρευτος δὲ τῆς κεφαλῆς | τὰ ὀπίσθια κοσμήσει τῇ κόμῃ τῆς κεφαλῆς | (977) τῶν παλαιῶν ὀδυρμάτων ἐπιμελουμένη τὴν μνήμην |

(978) Πολλοὶ δὲ περὶ τὴν Σῖριν· ἔστι δὲ πόλις Ἰταλίας | καὶ αὐτὴ πόλις Ἰταλίας | (979) τὴν γῆν κατοικήσουσιν | ἧχι ὁ δυσθάνατος | (980) Κάλχας ἀγρίων σύκων | φρόνιμος, σοφός, ἀπὸ Σισύφου | τῶν ἀναριθμήτων | (981) κατάκειται τὴν κεφαλὴν τῇ μάστιγι | περιφερεῖ καὶ στρογγύλῃ πέτρᾳ ἢ τῆς χειρὸς τῷ κονδύλῳ πληγείς | (982) ἔνθα ὁ τοῖς ῥείθροις ταχύς | πλημμυρεῖ ὁ Σίνις, ποταμὸς Καλαβρίας | (983) ἀρδεύων τὴν βαθεῖαν | τὴν παγκληρίαν τῆς Χωνίας· ἔστι δὲ πόλις Ἰταλίας | (984) ὁμοίαν δὲ πόλιν τῇ Ἰλίῳ | οἱ δυστυχεῖς | (985) κατασκευάσαντες λυπήσουσιν | τὴν Ἀθηνᾶν | (986) τὴν Σάλπιγγα καύσαντες. ἐπώνυμον Ἀθηνᾶς | τῆς θεᾶς ἐν τῷ ναῷ | (987) τοὺς πρότερον

975 *ἀβρόχως Bachm. Anecdd. p. 256 ἄβροχος Bachm. Lyc. p. 207* requiritur *ἀβροχίᾳ* 982 *σῖνις B*

μελαιναν ἐσθῆτα καὶ ῥυπαρὰν διὰ τὸ Ἑλληνικὸν τρόπαιον ἐνδεδυμένος λυπηρὸν βίον διάξει. (976) ἄκουρος δὲ τῇ κόμῃ [τῆς κεφαλῆς] ὑπάρχων τὰ ὀπίσω τῆς κεφαλῆς καλλωπίσει (977) τῶν παλαιῶν ὀδυρμάτων τὴν μνήμην ἐπιμελουμένη. (978) πολλοὶ δὲ περὶ τὴν Σίριν καὶ Λευταρνίαν (979) γῆν οἰκήσουσιν, ὅπου ὁ δυσθάνατος (980) [καὶ] φρόνιμος καὶ σοφὸς Κάλχας χάριν τῶν ἀναριθμήτων ἀγρίων σύκων (981) τῷ κονδύλῳ τοῦ Ἡρακλέους πληγεὶς τὴν κεφαλὴν κατάκειται, (982) ἔνθα καὶ ὁ ταχὺς Σίρις, ποταμὸς Ἰταλίας, τοῖς ῥεύμασιν πλημμυρεῖ, (983) πᾶσαν τὴν βαθεῖαν γῆν τῆς Χωνείας πόλεως ἀρδεύων. (984) τὴν πόλιν δὲ Σίριν ὁμοίαν τῇ Ἰλίῳ οἱ κακοδαίμονες Τρῶες (985) κατασκευάσαντες λυπήσουσι τὴν Λαφρίαν καὶ Σάλπιγγα κόρην Ἀθηνᾶν χειρωσάμενοι καὶ ἀποκτείναντες ἐν τῷ ναῷ τῆς θεᾶς (987) τοὺς πρόσθεν Ἴωνας τὸ ἔδαφος κατοικοῦντας.

rectius *s: μέλαιναν ἐσθῆτα διὰ τ. ἑ. τρ. ἐνδ. ῥυπαρὸς λυπηρὸν β. δ.* 976 *τῆς κεφαλῆς* om. *s* 980 *καὶ* om. *s* 982 *σίνις* pro *ταχὺς Σίρις s*

γλήναις δ' ἄγαλμα ταῖς ἀνικμάντοις μύσει,
στυγνὴν Ἀχαιῶν εἰς Ἰάονας βλάβην
λεῦσσον φόνον τ' ἔμφυλον ἀγραύλων λύκων,
ὅταν θανὼν λήταρχος ἱρείας σκύλαξ
πρῶτος κελαινῷ βωμὸν αἱμάξῃ βρότῳ.
Ἄλλοι δὲ πρῶνας δυσβάτους Τυλησσίους
Λίνου θ' ἁλισμήκτοιο δειραίαν ἄκραν
Ἀμαζόνος σύγκληρον ἄρσονται πέδον,
δούλης γυναικὸς ζεῦγλαν ἐνδεδεγμένοι,
ἣν χαλκομίτρου θῆσσαν Ὀτρήρας κόρης
πλανῆτιν ἄξει κῦμα πρὸς ξένην χθόνα.

988 *ἀνικμάντοις editor* cl. *Π ἀναιμάκτοις v* 990 *λεῦσον CDP* 991 *λήταρχος d λήταρχος v* *ἱρείας d* cf. *GHerm. V 249* *ἱερείας v* defendit *Muell. de pedd. soll. 18* 993 *τυλλησίους BCDE* inter — *ίους* — *ίου* — *ίας* optionem dat *s* *Τυλησσίων Steph.* 994 *ἁλισμίκτοιο D* *ἁλισμίκτοιο* (supra η) *CD* 996 *κλήτης*, supra *ἢ δούλης E* *ἐνδεδεγμένοι* (supra υ) *C²* *ἐνδεδυμένοι*, supra *ἢ ἐνδεδεγμένοι E* 997 *Ὀτρήρας editor* *ὀτρήρης C* (lineam add. *C²*) *ὀτρήρης BDEΠS* *ὀτρηρῆς AE²*

τὸ ἔδαφος | τοὺς Ἴωνας οἰκήσαντας. ἀπὸ Ξούθου | (988) τοῖς ὀφθαλμοῖς δὲ ἢ ταῖς κόραις ἄγαλμα | ταῖς ἀδακρύτοις καμμύσει | (989) φοβεράν, τῶν Κροτωνιατῶν νῦν | εἰς τοὺς Ἰάονας βλάβην | (990) βλέψον εἰς τὸν ἐμφύλιον φόνον | τῶν Κροτωνιατῶν | (991) ὅταν ὁ δημόσιος ἱερεὺς ἀποθανών· τὸ γὰρ δημόσιον λῆτον λέγεται | τῆς ἱερείας | (992) πρῶτος τῷ μελανῷ λύθρῳ τὸν βωμὸν αἱμάξῃ |

(993) Οἱ λοιποὶ δὲ ἀκρωτήρια καὶ ἐξοχὰς ὀρέων | δύσβατα. Τυλλησίους δὲ πόλις καὶ δρυμὸς ἐν Ἰταλίᾳ | (994) Λίνον ἀκρωτήριον Ἰταλίας. τοῦ ὑπὸ θαλάσσης σμηχομένου | τὴν ἐξέχουσαν | (995) συγκληρονόμον Ἀμαζόνος· λέγει δὲ τῆς Κλήτης, τροφοῦ Πενθεσιλείας | ἐφαρμόσονται (996) δούλης γυναικός | ὑποταγήν, δουλείαν δεξάμενοι | (997) ἥντινα Κλήτην τῆς χαλκῆν ζώνην ἐχούσης | θεράπαιναν, δούλην τῆς Πενθεσιλείας, θυγατρὸς Ὀτρήρης Ἀμαζόνος | (998) πλανωμένην τὸ κῦμα ἀπάξει εἰς τὴν ξένην γῆν |

988 *ἀδακρύταις B* 995 *κλητικῆς B*

(988) τοῖς δὲ ἀδακρύτοις ὀφθαλμοῖς τὸ εἴδωλον τῆς Ἀθηνᾶς καμμύσει, (989) βλέπον φοβερὰν βλάβην τὴν εἰς τοὺς Κροτωνιάτας ἐκ τῶν Ἰώνων γενομένην φόνον τε ἔμφυλον τῶν ἐν ἀγρῷ διανυκτερευόντων λύκων, (991) ὁπόταν ὁ τῆς ἱερείας υἱὸς ἱερεὺς ἀποθανὼν (992) πρῶτος τῷ μελανῷ ἀνθρωπίνῳ αἵματι τὸν ναὸν αἱματώσῃ. (993) ἕτεροι δὲ τὰς Τυλλησίους δυσβάτους ἐξοχὰς (994) καὶ τὴν ἀνέχουσαν ἄκραν τοῦ ὑπὸ τῆς θαλάσσης σμηχομένου ἀκρωτηρίου Λίνου (995) τὴν σύγκληρον γῆν τῆς Ἀμαζόνος ἐφαρμόσονται (996) τὴν ὑποταγὴν τῆς δούλης Κλήτης ἐνεδρεύοντες, (997) ἥντινα δούλην Κλήτην τῆς μητρὸς Πενθεσιλείας Ὀτρηρῆς (998) πεπλανημένην πρὸς ξένην γῆν ἀπάξει,

994 *ἀνέχουσαν* pro *ἔχουσαν s* 995 *ἐφαρμόσονται* pro *ἐφαρμόσοντες s* 997 *καὶ τίνα δούλην Κλήτην; τῆς μ. Π. Ὀ. s* 998 *ἣν* ante *πεπλ.* excidit

ἧς ἐκπνεούσης λοῖσθον ὀφθαλμὸς τυπεὶς
πιθηκομόρφῳ πότμον Αἰτωλῷ φθόρῳ
τεύξει τράφηκι φοινίῳ τετμημένῳ.
Κροτωνιᾶται δ' ἄστυ πέρσουσίν ποτε
Ἀμαζόνος, φθέρσαντες ἄτρομον κόρην
Κλείτην, ἄνασσαν τῆς ἐπωνύμου πάτρας.
πολλοὶ δὲ πρόσθε γαῖαν ἐκ κείνης ὀδὰξ
δάψουσι πρηνιχθέντες οὐδ' ἄτερ πόνων
πύργους διαρραίσουσι Λαυρήτης γόνοι.
Οἳ δ' αὖ Τέρειναν, ἔνθα μυδαίνει ποτοῖς
Ὠκίναρος γῆν φοῖβον ἐκβράσσων γάνος,
ἄλῃ κατοικήσουσι κάμνοντες πικρᾷ.
Τὸν δ' αὖ τὰ δευτερεῖα καλλιστευμάτων
λαβόντα καὶ τὸν ἐκ Λυκορμαίων ποτῶν

1000 *φθόρον V* 1002 *πέρσουσι ACDE* 1004 *Κλείτην s Κλήτην V* 1005 *πρόσθεν ABE* *ἐκ κείνης CDEΠS ἐκείνης B ἐκείνης* A^2 1009 *ὕδωρ V* 1010 *χρυσὰ* pro *πικρᾷ B*

---

(999) ἧστινος Πενθεσιλείας τὸ τελευταῖον ἐκπνευσάσης | ὁ ὀφθαλμὸς πληγείς (1000) τῷ Θερσίτῃ | θάνατον τῷ Αἰτωλῷ τῶν φθόρων | (1001) κατασκευάσει τῷ φοινικῷ δόρατι, ξίφει | πεπληγμένῳ, κεκομμένῳ | (1002) οἱ Κροτωνιᾶται δὲ τὴν πόλιν | ἐκπορθήσουσιν ἤδη | (1003) τῆς Κλήτης, φθείραντες | τὴν ἄφοβον κόρην | (1004) τὴν βασίλισσαν Κλήτην | ἐπωνύμου τῆς πατρίδος | (1005) πολλοὶ δὲ πρότερον τὴν γῆν | μετὰ τῶν ὀδόντων ἐξ ἐκείνης τοῖς ὀδοῦσι | (1006) διαφθαρέντες φάγωσιν | οὐδὲ χωρὶς πόνων (1007) πύργους διαφθεροῦσιν | οἱ Κροτωνιᾶται |

(1008) Οἱ δὲ δη. πόλιν Ἰταλίας | ἐκεῖσε τοῖς νάμασι ποτίζει, βρέχει | (1009) τὴν γῆν ὁ Ὠκίναρος, ποταμὸς Ἰταλίας | καθαρὸν ὕδωρ ἐκπέμπων | (1010) πλάνῃ κατοικήσουσιν | τῇ πικρᾷ κοπιῶντες |

(1011) Τοῦτον δὲ δὴ τὰ δεύτερα | καλλιστευμάτων ἤγουν τοῦ κάλλους (1012) τὸν λαβόντα καὶ τόν | ἐκ τῶν ναμάτων τοῦ Λυκόρμα, ποταμοῦ Ἰταλίας τοῦ νῦν Εὐηνοῦ |

1012 *Αἰτωλίας* (e *T*) *Bachm.*

(999) ἧστινος Πενθεσιλείας τὸ ἔσχατον ἐκπνεούσης πληγεὶς ὁ ὀφθαλμὸς (1000) παρὰ τῷ Αἰτωλῷ Θερσίτῃ φθαρτικὸν θάνατον (1001) αὐτῷ δεδασμένῳ τῷ φοινικῷ δόρατι ὁ Ἀχιλλεὺς κατασκευάσει. (1002) οἱ δὲ Κροτωνιᾶται τὴν πόλιν ποτὲ ἐκπορθήσουσιν, (1003) ἀποκτείναντες τῆς Ἀμαζόνος τὴν ἄφοβον κόρην (1004) Κλήτην, τὴν βασίλισσαν τῆς ἐπωνύμου πατρίδος. (1005) πολλοὶ δὲ ἔμπροσθεν ἐξ ἐκείνης διαφθαρέντες τὴν γῆν τοῖς ὀδοῦσι χανόντες δήξουσιν οὐδὲ χωρὶς πόνων καὶ κόπων (1007) τοὺς πύργους διακόψουσιν οἱ τῆς Λαυρήτης ἀπόγονοι Κροτωνιᾶται. (1008) οὗτοι δὲ δὴ τὴν Τέρειναν, πόλιν Ἰταλίας, τῇ πικρᾷ πλάνῃ κάμνοντες κατοικήσουσιν, ὅπου τοῖς πόμασιν ὁ Ὠκίναρος ποταμὸς τὸ καθαρὸν ὕδωρ ἐκβράσσων τὴν γῆν ποτίζει.

Τὸν δ' αὖ τὰ δευτεραῖα καλλιστευμάτων λαβόντα· (1011) τὸν δὲ δὴ Νιρέα τὸν τὰ δεύτερα κάλλη τοῦ Ἀχιλλέως (1012) λαβόντα καὶ τὸν ἐκ Λυκορμαίων ποτῶν

999 *τοῦ Αἰτωλοῦ Θερσίτου V* in *s* 1000 *φησί, κακὸν* pro *φθαρτικὸν s* 1007 *λαυρήτης* pro *λαυρίτης s* 1011 *καλλιστεῖα μετ' Ἀχιλλέα*? cf. *T*

στρατηλάτην σὺν, καρτερὸν Γόργης τόκον,
τῇ μὲν Λίβυσσαν ψάμμον ἄξουσι πνοαὶ
Θρῇσσαι ποδωτοῖς ἐμφορούμεναι λίνοις,
τῇ δ' ἐκ Λιβύσσης αὖθις ἐμπίτνων νότος
εἰς Ἀργυρίνους καὶ Κεραυνίων νάπας
ἄξει βαρεῖ πρηστῆρι ποιμαίνων ἅλα,
ἔνθα πλανήτην λυπρὸν ὄψονται βίον
Λακμωνίου δρέποντες Αἴαντος ῥοάς.
Κρᾶθις δὲ γείτων ἠδὲ Μυλάκων ὄρος
χώρας συνοίκους δέξεται Κόλχων Πόλαις,
μαστῆρας οὓς θυγατρὸς ἔστειλεν βαρὺς
Αἴας Κορίνθου τ' ἀρχός, Εἰδυίας πόσις,

1013 *κρατερὸν ACD* 1014 *τῇ ABP πῇ CDEp* cf. *T* 1016 *τῇ ABP πῇ CDEp* cf. *T* *ἐμπίτνων* editor *ἐμπίπτων ABDE ἐμπιπρῶν C* 1017 *ἀργυρίννους BCDET* 1018 *ποιμαίνων ABΠ κυμαίνων CDE* 1019 *λυγρὸν A* 1020 *πίνοντες V* 1021 *ὅρος B Steph. ὅροις ACDEp* 1022 *χῶρος V* 1023 *ἔστειλε ABCD*

(1013) τὸν Ἀνδραιμονίδην, λέγει Θόαντα | τὸν ἰσχυρὸν Γόργης υἱὸν Θόαντα | (1014) ἐκεῖσε εἰς τὴν Λιβυκὴν ψάμμον | ἄξουσιν οἱ ἄνεμοι (1015) Θρακικαί, αἱ ἐκ Θρᾴκης | τοῖς πρὸς τὸν πόδα τοῦ ἀρμένου ἐσχάτοις μέρεσιν. ἐκπίπτουσαι | (1016) ἐκεῖσε δὲ ἐκ τῆς Λιβύης. πρῶτον μὲν περὶ Λιβύην πλανηθέντες ἄμφω ὕστερον ἦλθον καὶ κατῴκησαν εἰς Ἰταλίαν | πάλιν ὁ νότος ἐμπίπτων | (1017) εἰς Ἠπειρωτικὸν ἔθνος, τοὺς Ἀργυρίνους | ὄρη Ἠπειρωτικὰ τὰ Κεραύνια | (1018) ἄξει τῷ σφοδρῷ καὶ βιαίῳ ἀνέμῳ | ἐλαύνων εἰς θάλασσαν | (1019) ἐκεῖσε πλανήτην λυπηρὸν ὄψονται βίον, ἀντὶ τοῦ θεάσονται | (1020) ἡ τοῦ Πίνδου ὄρους ἄκρα Λακμωνία καλεῖται | τοῦ Αἴαντος, ποταμοῦ Ἠπείρου, τὸ ὕδωρ | (1021) ὁ Κρᾶθις δὲ, ποταμὸς Ἰταλίας, ὁ γείτων | ἔθνος Ἰλλυρίας οἱ Μύλακες | (1022) ὁ τόπος συνοίκους δέξεται | ταῖς ὑπὸ Κόλχων κτισθείσαις πόλεσιν. Πόλαι ὄνομα πόλεως | (1023) οὕστινας ἰχνευτὰς καὶ διώκτας τῆς θυγατρός | ἀπέστειλεν ὁ βαρύς | (1024) ὁ τῆς Κολχίδος τῶν πόλεων, τῆς Αἴας καὶ Κορίνθου, βασιλεύς | ὁ ἀνὴρ τῆς Εἰδυίας,

1013 *Θόαντος B* 1015 *ἐκπιπτούσαις B ἐμπίπτουσαι Bachm.* 1017 *ἀργυρίννους B* 1022 *τῶν B* leg. *Πόλαις* pro *πόλεσιν*

(1013) δεινὸν καὶ ἰσχυρὸν ἡγεμόνα υἱὸν τῆς Γόργης Θόαντα, πῇ μὲν εἰς τὴν Λιβύην ψάμμον αἱ Θρᾳκικαὶ πνοαὶ τοῖς ἐσχάτοις ἀρμένοις ἐμπίπτουσαι ἀπάξουσι, (1016) πῇ δὲ ἐκ τῆς Λιβύης πάλιν ὁ νότος ἐμπίπτων (1017) εἰς τοὺς Ἀργυρίννους, ὅ ἐστιν ἔθνος Ἠπείρου, καὶ εἰς τὰς ὕλας τῶν Κεραυνίων ὀρῶν (1018) τῷ βιαίῳ ἀνέμῳ ἐλαύνων τὴν θάλασσαν ἀπάξει, (1019) ὅπου πεπλανημένον καὶ λυπηρὸν βίον θεάσονται (1020) τοῦ Λακμωνίου ὄρους καὶ τοῦ Αἴαντος ποταμοῦ τὰς ἐκρεύσεις πίνοντες. (1021) ὁ δὲ γείτων Κρᾶθις, ὁ ποταμὸς Ἰταλίας, ἐν τοῖς ὅροις τῶν Μυλάκων (1022) καὶ ταῖς Πόλαις τῶν Κόλχων οἰκήτορας δέξεται, (1023) οὕστινας Κόλχους ὁ βαρὺς βασιλεὺς τῆς Αἴας πόλεως καὶ τῆς Κορίνθου Αἰήτης καὶ ἀνὴρ τῆς Εἰδυίας διώκτας τῆς θυγατρὸς αὐτοῦ ἀπέστειλε,

1013 *Λιβυκὴν*? 1021 *ἐν* pro *σὺν* recepi e diagrammate in *s* 1023 *αἰήτης* pro *αἰήτους Vs* exciditne *ὁ πόσις* ante *καὶ ἀνὴρ*?

τὴν νυμφαγωγὸν ἐκκυνηγετῶν τρόπιν,
οἳ πρὸς βαθεῖ νάσσαντο Διζήρου πόρῳ.
Ἄλλοι δὲ Μελίτην νῆσον Ὀθρωνοῦ πέλας
πλαγκτοὶ κατοικήσουσιν, ἣν πέριξ κλύδων
ἔμπλην Παχύνου Σικανὸς προσμάσσεται,
τοῦ Σισυφείου παιδὸς ὀχθηρὰν ἄκραν
ἐπώνυμόν ποθ᾽ ὑστέρῳ γράφων χρόνῳ
κλεινόν θ᾽ ἵδρυμα παρθένου Λογγάτιδος,
Ἕλωρος ἔνθα ψυχρὸν ἐκβάλλει ποτόν.
Παπποκτόνος δ᾽ Ὀθρωνὸν οἰκήσει λύκος,
τηλοῦ πατρῷα ῥεῖθρα Κοσκύνθου ποθῶν.
ὃς ἐν θαλάσσῃ χοιράδων βεβὼς ἔπι
ῥήτρας πολίταις τὰς στρατοπλώτους ἐρεῖ.

1026 *διζήρου̃ C* (˜ addidit *C²*) *διζηρου̃ ADE δηξηρου̃ B* cf. *Steph.* 1027 *δὲ* om. *A* (scripsit in lemm.) *BDE* cf. *Π* et *Steph.* 1031 *χρόνῳ γράφων ACD χρόνω γραφεῖν E* 1035 *πατρῴου A*

γυναικὸς Αἰήτου | (1025) τὴν νυμφαγωγὸν ναῦν | ἀπὸ μέρους τὴν Ἀργὼ λέγει | (1026) οἵτινες πρὸς τῷ βαθεῖ ᾤκουν | τοῦ Διζηροῦ, ποταμοῦ Ἠπείρου, τῷ πόρῳ |
(1027) Ἄλλοι δὲ τὴν Μελίτην, νῆσον τῆς Σικελίας | πλησίον τῆς Ὀθρωνοῦ νήσου, ἥτις ἐστὶ περὶ Ἰταλίαν πρὸς τὸ στόμα τοῦ Ἀδρίου | (1028) πλανῆται κατοικήσουσιν | ἥντινα πέριξ ὁ κλύδων | (1029) πλησίον Παχύνου, ἀκρωτηρίου Σικελίας | ποταμὸς Σικελίας περιειλεῖται, περιγράφεται | (1030) ἡ Ὀδυσσεία ἄκρα, ἡ τοῦ Ὀδυσσέως· Σισύφου γὰρ αὐτόν τινές φασι παῖδα | τραχεῖαν ἄκραν (1031) ποτὲ ἐπώνυμον | τῷ ἐσχάτῳ χρόνῳ περιγράφων καὶ περιορίζων | (1032) ἔνδοξον ἱερὸν τῆς Ἑκάτης | (1033) ὅπου τὸ τοῦ Ἑλώρου, ποταμοῦ Σικελίας, τὸ ψυχρὸν ὕδωρ ἐκβάλλει |
(1034) Ὁ Ἐλεφήνωρ, ὁ ἀνελὼν Ἄβαντα, τὸν ἑαυτοῦ πάππον. Ὀθρωνόν, νῆσον Ἰταλίας | κατοικήσει ὁ λύκος, διὰ τὸ φονικὸν αὐτὸν εἶναι | (1035) πόρρω τὰ πατρικὰ ῥεῖθρα ποταμοῦ Εὐβοίας ἐπιποθῶν | (1036) ὅστις ἐν τῇ θαλάσσῃ τῶν ὑφάλων πετρῶν ἐπιβεβηκὼς | (1037) τὰς ἱκεσίας, ὅ ἐστιν ἀγγελίας, τοῖς πολίταις | τὰς πλευσθείσας ὑπὸ τοῦ στρατοῦ ἐρεῖ |

1026 *δηξηρου̃ B* 1029 leg. *περιγράφει* 1030 *φασι* om. *B* 1033 *Ἑλώρου* pro *Ἕλωρος Bachm.* 1035 *εὐβοίης B*

(1025) τὴν νυμφαγωγὸν τρόπιν ἤγουν τὴν Ἀργὼ ἀγρεῦσαι θέλων, (1026) οἵτινες Κόλχοι πρὸς τῷ βαθεῖ πόρῳ τοῦ Διζηροῦ ποταμοῦ κατῴκησαν. (1027) οἱ δὲ λοιποὶ εἰς τὴν Μελίτην νῆσον πλησίον τῆς Ὀθρωνοῦ νήσου (1028) πεπλανημένοι οἰκήσουσιν, ἥντινα Μελίτην νῆσον πέριξ ἐγγὺς τοῦ Παχύνου ποταμοῦ ὁ Σικελὸς κλύδων ἐπιρρεῖ καὶ ἐπικλύζει, (1030) τὴν τοῦ Σισυφείου παιδὸς ἤγουν Ὀδυσσέως ἐπώνυμον τραχεῖαν (1031) καὶ ὑψηλὴν ἄκραν, ἥν ποτε τῷ ὑστέρῳ χρόνῳ περιγράφων ὁ Ὀδυσσεὺς (1032) ἔνδοξον οἴκημα τῆς παρθένου Ἑκάτης Ὀδύσσειαν ἐκάλεσεν, (1033) ὅπου ἡ Ἕλωρος, πόλις Σικελίας, τὸ ψυχρὸν ὕδωρ ἐκβάλλει.
(1034) ὁ δὲ τὸν πάππον ἀποκτείνας Ἄβαντα λύκος Ἐλεφήνωρ τὴν Ὀθρωνὸν νῆσον κατοικήσει, (1035) τὰ πόρρω ὄντα πατρῷα ῥεύματα τοῦ Κοσκύνθου ποταμοῦ Εὐβοίας ἐπιθυμῶν. (1036) ὅστις ἐν τῇ θαλάσσῃ τῶν πετρῶν ἐπιβὰς (1037) τὰς στρατοπλώτους ἱκεσίας ἤγουν βοηθείας τῆς πατρῴας γῆς τοῖς Ἀτρείδαις λέξει·

1031 *ἣν* pro *τὴν V* 1033 *ὁ Ἕλ. ποταμὸς V*

χέρσου πατρῴας οὐ γὰρ αὖ φονῆ ποσὶ
ψαῦσαι, μέγαν πλειῶνα μὴ πεφευγότα,
δίκης ἐάσει ταρροθος Τελφουσία
Λάδωνος ἀμφὶ ῥεῖθρα ναίουσα σκύλαξ.
ὅθεν πεφευγὼς ἑρπετῶν δεινὴν μάχην
δρακοντομόρφων εἰς Ἀμαντίαν πόλιν
πλώσει. πέλας δὲ γῆς Ἀτιντάνων μολὼν
Πράκτιν παρ᾽ αὐτὴν αἰπὺ νάσσεται λέπας,
τοῦ Χαονίτου νᾶμα Πολυάνθους δρέπων.
Ὁ δ᾽ Αὐσονείων ἄγχι Κάλχαντος τάφων,
δυοῖν ὁμαίμοιν ἅτερος, ψευδηρίων
ξένην ἐπ᾽ ὀστέοισιν ὀγχήσει κόνιν.

1038 *ἂν* V *φονῆ BEΠ φονῇ A φωνῆ C* (correxit C^2) *φονῆ* (ω supra) *D* 1040 *ἐάσει ABΠ ἐάση CDE ἐάσαι G Herm. V 246* 1044 *γρ. ἀντιτατῶν* marg. *B ἀτι*τάνων C* 1045 *πράκτην D ἀκτὴν Cant. πλαγκτὸς παρ᾽ ἀκτὴν Muell. I 181* 1046 *πολυάνθου* A* (σ prope erasum: *πολυάνθους V*) *πολυάνθου BDE* cf. *Π* 1047 *αὐσονίων ABC* 1048 *ἀδελφοῖν V*

(1038) τῆς πατρῴας γῆς· οὐδαμῶς γὰρ ἂν τὸν φονέα τοῖς ποσίν | (1039) νόμος γὰρ ἦν τοῖς ἀρχαίοις τὸν φόνον ἐργασάμενον φεύγειν ἐνιαυτὸν ὅλον | μὴ ψαύοντα τῆς πατρίδος | (1040) ἡ τῆς Δίκης βοηθὸς Ἐρινὺς συγχωρήσει | πόλις ἐν Ἀρκαδίᾳ, ἔνθα τιμᾶται ἡ Ἐρινύς | (1041) περὶ τὰ ῥεῖθρα τοῦ ποταμοῦ Ἀρκαδίας Λάδωνος | κατοικοῦσα ἡ ταρακτική | (1042) ὅθεν, ἀπὸ Ὀθρωνοῦ, φυγὼν ὁ Ἐλεφήνωρ τοὺς ὄφεις | (1043) τοὺς δρακοντομόρφους | εἰς τὴν Ἀμαντίαν, πόλιν Ἠπείρου, τὴν ἐξ αὐτοῦ κληθεῖσαν, ἐξ ἧς μετωνόμασθησαν ἀντὶ Ἀβάντων Ἄμαντες | (1044) πλεύσει. πλησίον δὲ γῆς | ἔθνους Ἠπειρωτικοῦ. ἐλθών | (1045) ὄρος Ἠπείρου ἡ Πράκτις | τὸ τραχὺ οἰκήσει ἀκρωτήριον τοῦ ὄρους | (1046) τὸ νᾶμα τοῦ Χαονίτου, ἐθνικὸν Ἠπείρου | τοῦ Πολυάνθου ποταμοῦ. μεταφορικῶς ἀντλῶν |

(1047) Ὁ δὲ τῶν Ἰταλῶν πλησίον τῶν τάφων τοῦ Κάλχαντος | (1048) τῶν δύο ἀδελφῶν ὁ ἕτερος | κενοταφίων | (1049) ἐπὶ τοῖς ὀστέοις ξένην ἐποχήσεται κονίαν |

1039 *μὴ — πατρίδος* om. *B* 1042 *Ὀθρωνοῦ* pro *Ὀθρωνῶν Bachm.* 1043 *ἐξ ἧς* pro *ἑξῆς Bachm.* *Ἄμαντες* om. *Bf* 1044 *ἔθνους B* 1047 leg. *Ἰταλικῶν*? *Bachm.*

(1039) οὐδαμῶς γὰρ ἂν τὸν φονέα τοῖς ποσὶ προσψαῦσαι τῆς πατρίδος ἐπὶ πλείονα χρόνον μὴ πεφευγότα (1040) ἡ βοηθὸς τῆς δίκης Τελφουσία Ἐρινὺς παραχωρήσει, (1041) ἡ περὶ τοῦ Λάδωνος τοῦ ποταμοῦ τὰ ῥεῖθρα κατοικοῦσα. (1042) ὅθεν πεφευγὼς τὴν δεινὴν μάχην τῶν δρακοντομόρφων ἑρπετῶν τῆς Ὀθρωνοῦ νήσου εἰς τὴν Ἀμαντίαν, πόλιν τῆς Ἠπείρου, (1044) πλεύσει. πλησίον δὲ τῆς Ἀτιντανῶν γῆς παραγενόμενος (1045) παρ᾽ αὐτὴν τὴν Πράκτιν εἰς τὸ ὑψηλὸν λέπας, ὅ ἐστιν ὄρος, οἰκήσει (1046) τοῦ Ἠπειρώτου Πολυάνθου ποταμοῦ τὸ ὕδωρ τρυγῶν καὶ πίνων. (1047) ὁ δὲ ἕτερος τῶν δύο ἀδελφῶν Ποδαλείριος πλησίον τῶν Ἰταλικῶν κενοταφίων τοῦ Κάλχαντος (1049) ἐπὶ ξένην γῆν τοῖς ὀστέοις ταφήσεται.

1046 *πολυάνθους s* *ποτὸν* pro *τὸ s* *ἀντλῶν* pro *πίνων s*

δοραῖς δὲ μήλων τύμβον ἐγκοιμωμένοις
χρήσει καθ' ὕπνον πᾶσι ναμερτῆ φάτιν·
νόσων δ' ἀκεστὴς Δαυνίοις κληθήσεται,
ὅταν κατικμαίνοντες Ἀλθαίνου ῥοαῖς
ἀρωγὸν αὐδήσωσιν Ἠπίου γόνον
αὐτοῖσι καὶ ποίμναισι πρευμενῆ μολεῖν.
ἔσται ποτὲ πρεσβεῦσιν Αἰτωλῶν φάος
ἐκεῖ γοηρὸν καὶ πανέχθιστον φανέν,
ὅταν Σαλάγγων γαῖαν Ἀγγαίσων θ' ἕδη
μολόντες αἰτήσωσι κοιράνου γύας
ἐσθλῆς ἀρούρας πῖαρ ἔγκληρον χθονός,
τοὺς δ' εἰς ἐρεμνὸν ζῶντας ὠμησταὶ τάφον

1051 *πᾶσιν C πᾶσαν E* *ναμερτῆ editor νημερτῆ ABDE ἡμερτῆ C* (spiritum atramento addidit, minio *ἐπιθυμητὴν* superscripsit *C*[2]) 1052 *δ'* om. *D* *τ' CE* 1054 *αὐδήσ$\overset{\omega}{\text{ου}}$σιν B αὐδήσουσιν CE* 1055 *ἀστοῖσι V* 1057 *παν$\overset{\sigma\tau}{\text{έχθ}}$ιον C*[2] 1058 *σαλώγγων C* *ἀγαίσσων D* (*α* primae syllabae ex *αι*) 1059 *αἰτήσωσι editor* cf. *p* *αἰτίζωσι V* *γυίας ACD* 1060 *ἀρούρης V* puncti loco comma posui

---

(1050) ἐν δέρμασι δὲ θρεμμάτων | ἐν τῷ τάφῳ Ποδαλειρίου τοῖς κοιμωμένοις | (1051) χρησμοδοτήσει καθ' ὕπνους πᾶσιν | ἀληθῆ φήμην | (1052) νοσημάτων δὲ θεραπευτής, ἰατρός | τοῖς Δαυνίοις· ἔθνος Ἰταλίας. ὀνομασθήσεται | (1053) ὁπόταν βρέχοντες, ἀντλοῦντες, λουόμενοι | τοῖς ῥεύμασι τοῦ ποταμοῦ Ἰταλίας Ἀλθαίνου | (1054) βοηθὸν φωνήσωσιν | τὸν Ἀσκληπιοῦ υἱὸν Ποδαλείριον | (1055) τοῖς πολίταις καὶ ταῖς ποίμναις | εὐμενῆ, προσηνῆ, λίαν πρᾶον ἐλθεῖν | (1056) γενήσεταί ποτε τοῖς πρεσβευταῖς, τοῖς ἀγγέλοις | τῶν Αἰτωλῶν φῶς | (1057) ἐκεῖ θρήνους ἄξιον καὶ λυπηρόν | καὶ παμμίσητον φανέν | (1058) ὅταν τὴν τοῦ ἔθνους Ἰταλίας γῆν | καὶ τοῦ Ἰταλίας ἔθνους ἐδάφη | (1059) ἐρχόμενοι αἰτοῦσιν | τοῦ Διομήδους. μέτρον δὲ γῆς ὁ γύης | (1060) ἀγαθῆς γῆς | τὸ κληρωθὲν τῷ Διομήδει πῖον καὶ λιπαρὸν ἔδαφος | (1061) τούτους δὲ ζῶντας εἰς τὸ σκοτεινόν, παρὰ τὸ ἔρεβος | ὠμοφάγοι, ὠμοί, ἀπηνεῖς. μνημεῖον |

1058 *ἐδάφη* pro *ἐδάφει Bachm.*
1059 *τῆς* pro *τοῦ B*

(1050) τοῖς δὲ ἐν μηλωταῖς περὶ τὸν τάφον αὐτοῦ κοιμωμένοις (1051) πᾶσιν ἀληθῆ λόγον καθ' ὕπνους χρησμοδοτήσει. (1052) ἰατρὸς δὲ τῶν νόσων παρὰ τοῖς Δαυνίοις ὁ Ποδαλείριος κληθήσεται, (1053) ὁπότε λουόμενοι ἐν τοῖς ῥεύμασιν τοῦ Ἀλθαίνου ποταμοῦ (1054) βοηθὸν ἀναβοήσουσι τοῦ Ἀσκληπιοῦ τὸν υἱὸν (1055) τοῖς πολίταις καὶ τοῖς θρέμμασιν αὐτῶν ἄγαν εὐμενῆ παραγενέσθαι. (1056) γενήσεταί ποτε τοῖς πρεσβεῦσι τῶν Αἰτωλῶν, τοῖς πρεσβευταῖς καὶ ἀγγέλοις, ἐκεῖ φῶς λυπηρὸν καὶ ἐχθρότατον φανὲν παρὰ τῶν Δαυνίων, (1058) ὁπόταν ἐπὶ τῶν Σαλάγγων τὴν γῆν καὶ τῶν Ἀγγαίσων τὰ ἑδράσματα (1059) παραγενόμενοι οἱ Αἰτωλοὶ καὶ ἀπαιτοῦντες ἀπαιτήσωσι τοῦ Διομήδους τοὺς τόπους (1060) τῆς ἀγαθῆς ἠροτριασμένης γῆς τὸ κληρωθὲν αὐτῷ λιπαρὸν μέρος. (1061) τούτους δὲ οἱ ὠμοφάγοι Δαύνιοι ζῶντας εἰς σκοτεινὸν τάφον

1053 *ὁπόταν — ἀναβοήσωσι s*
1059 *ἀπαιτήσωσι editor ἀπαιτήσουσι AV* om. *s*

κρύψωσι κοίλης ἐν μυχοῖς διασφάγος.
οἱ δ᾿ ἀκτέριστον σῆμα Δαυνῖται νεκρῶν
στήσουσι χωστῷ τροχμάλῳ κατηρεφές,
χώραν διδόντες, ἥνπερ ἔχρῃζον λαβεῖν,
τοῦ κρατοβρῶτος παιδὸς ἀτρέστου κάπρου.
Τῶν Ναυβολείων δ᾿ εἰς Τέμεσσαν ἐγγόνων
ναῦται καταβλώξουσιν, ἔνθα Λαμπέτης
Ἱππωνίου πρηῶνος εἰς Τηθὺν κέρας
σκληρὸν νένευκεν. ἀντὶ δὲ Κρίσης ὅρων
Κροτωνιᾶτιν ἀντίπορθμον αὔλακα
βοῶν ἀροτρεύσουσιν ὁλκαίῳ πτερῷ,
πάτραν Λίλαιαν κἀνεμωρείας πέδον
ποθοῦντες Ἄμφισσάν τε καὶ κλεινὰς Ἄβας.

1062 *κρύψουσι V* *κοίλης BEΠ* *κοίλης* (οι superscr.) *C* *κοίλοις D* *κοίλοις* in *κοίλαις* mutavit *A* (*κοίλαις V*), in *κοίλης A*[2] 1063 *οἱ editor* *τοὶ ABC* cf. *Π* *τοῖς DE* 1065 *ἔχρηζον BCDE* 1067 *ναυβο*λείων A* (υ prope erasum: *ναυβουλείων V*) *ναυβουλίων B* *ἐκγόνων* (γ superscr.) *C*[2] 1070 *κρίσσης ACDE* *᾿ὅρῶν C*[2] (᾿ et ˜ add. *C*[2]) 1073 *κ ἀνεχωρείας C* *χ* in *μ* mutavit *C*[2]

(1062) κρύψουσιν ἐν τοῖς μυχοῖς τῆς κοίλης | βαθείας καὶ κοίλης· διασφάξ γὰρ ἡ εὐθεῖα | (1063) οὗτοι δὲ ἄθαπτον καὶ ἀνενταφίαστον τάφον· οὐ γὰρ ἐτάφησαν | οἱ Ἰταλοὶ τῶν νεκρῶν· κατεχώσθησαν γὰρ καὶ οὐκ ἐτάφησαν | (1064) οὐ γὰρ ἐτάφησαν, ἀλλὰ ζῶντες ἐν τῷ βοθύνῳ κατεχώσθησαν | μικρῷ λίθῳ, κάχληκι | κατάστεγον |

(1062) χώσουσιν ἐν τοῖς ἐσωτάτοις τόποις τῆς ὠρυγμένης καὶ φαραγγώδους κοίλης γῆς. (1063) οὗτοι δὲ οἱ Δαύνιοι ἐντελὲς ἄταφον μνῆμα τῶν νεκρῶν Αἰτωλῶν (1064) τῷ κεχωσμένῳ σμικρῷ λίθῳ κατασκευάσουσι

(1065) χώραν παρέχοντες, ἥντινάπερ | λαβεῖν ἔχρηζον | (1066) τοῦ τὴν κεφαλὴν φαγόντος Τυδέως, Διομήδους, ἐπειδὴ ἐν τῷ Θηβαϊκῷ πολέμῳ λέγεται ὁ Τυδεὺς τὴν κεφαλὴν τοῦ Μελανίππου κατεδηδοκέναι· κρατοβρῶτος οὖν Τυδέως. παῖς δὲ αὐτοῦ ὁ Διομήδης. ἀφόβου, ἀνδρείου, Τυδέως, διὰ τὸ σθένος ἢ διὰ τὸ δέρμα τοῦ Καλυδωνίου χοίρου, ἐπειδὴ ἐχρήσατο αὐτὸ ἀντὶ περιβολαίου |

(1067) Τῶν τοῦ Ναυβόλου δὲ παίδων εἰς Τέμεσσαν, πόλιν Ἰταλίας | (1068) οἱ ναῦται καταντήσουσιν | ὅπου τὸ ἀκρωτήριον τοῦ τῆς Ἰταλίας ὄρους | (1069) πόλεως Ἰταλίας. [καὶ] ἐξοχῆς τοῦ ὄρους. εἰς τὴν θάλασσαν ἀκρωτήριον | (1070) τραχύ | ἀντὶ δὲ τῶν ὁρισμάτων τῆς Κρίσης, πόλεως Φωκίδος | (1071) τὴν ἔναντι κειμένην, ἐπειδὴ ἡ μὲν Κρίσα ἀνατολική, ἡ δὲ Κρότων δυτική. πόλις Φωκίδος | (1072) τῶν βοῶν ἀροτρεύσουσιν | τῷ ἑλκομένῳ ἄκρῳ τοῦ ἀρότρου, ἥτις καλεῖται ὕνις | (1073) τὴν Λίλαιαν πατρίδα· ἔστιν δὲ πόλις Φωκίδος | καὶ τὸ τῆς Ἀνεμωρείας ἔδαφος· ἔστι δὲ πόλις Φωκίδος | (1074) ποθοῦντες τὴν Ἄμφισσαν, πόλιν Φωκίδος | καὶ τὰς ἐνδόξους Ἄβας· ἔστιν δὲ πόλις Φωκίδος |

1063 *ἀθάνατον B* 1069 *καὶ* om. *a*

Σήταια τλῆμον, σοὶ δὲ πρὸς πέτραις μόρος
μίμνει δυσαίων, ἔνθα γυιούχοις πέδαις
οἴκτιστα χαλκείαισιν ὠργυιωμένη
θανεῖ, πυρὶ φλέξασα δεσποτῶν στόλον,
ἔκβλητον αἰάζουσα Κράθιδος πέλας
τόργοισιν αἰώρημα φοινίοις δέμας.
σπιλὰς δ' ἐκείνη σῆς φερώνυμος τύχης
πόντον προσαυγάζουσα φημισθήσεται.
Οἳ δ' αὖ Πελασγῶν ἀμφὶ Μέμβλητος ῥοὰς
νῆσόν τε Κερνεᾶτιν ἐκπεπλωκότες
ὑπὲρ πόρον Τυρσηνὸν ἐν Λαμητίαις
δίναισιν οἰκήσουσι Λευκανῶν πλάκας.
Καὶ τοὺς μὲν ἄλγη ποικίλαι τε συμφοραὶ
ἄνοστον αἰάζοντας ἕξουσιν τύχην
ἐμῶν ἕκατι δυσγάμων ῥυσταγμάτων.
οὐδ' οἱ χρόνῳ μολόντες ἀσπαστῶς δόμους
εὐκταῖον ἐκλάμψουσι θυμάτων σέλας,

1075 *$\overset{ε}{\text{σοὶ}}$ C*[2] *πέτρας A* 1077 *χαλκείῃσιν V* *ὀργυιωμένη D ὠργυωμένη AB* 1078 *θανῇ V* 1082 *πρὸς, αὐγάζουσα C* 1083 *μέβλητος E* 1084 *κερνεατιν A κερκεᾶτιν B κερνε$\overset{α}{\text{ῶ}}$τιν E Κυρνεᾶτιν Gargiulli 73* *ἐκπεπλ$\overset{ευ}{\text{ω}}$κότες C*[2] 1088 *ἕξουσι ACDE* 1090 *χρόνοι A* (correxit *A*[2]. *χρόνῳ V*)

(1075) ὄνομα μιᾶς τῶν Τρῳάδων γυναικῶν. ὦ ταλαίπωρε, ὑπομονητική, ἀφ' οὗ δυστυχής | σοὶ δὲ ὁ θάνατος πρὸς ταῖς πέτραις | (1076) μένει δυστυχής· καὶ εὐαίων ὁ εὐτυχής | ταῖς τὰ γυῖα ἐχούσαις καὶ δεσμούσαις. δεσμοῖς | (1077) ἐλεεινῶς σιδηραῖς | ἐκτεταμένη, ἡπλωμένη | (1078) ἀποθάνῃς, ἐμπρήσασα | τὰς ναῦς τῶν δεσποτῶν | (1079) ἀπόβλητον θρηνοῦσα, στένουσα | πλησίον Κράθιδος, ποταμοῦ Ἰταλίας | (1080) γυψὶν σπάραγμα ἢ βάσταγμα | τοῖς φονικοῖς τὸ σῶμα | (1081) ἐκείνη δ' ἡ πέτρα | ἐπειδὴ Σήταια ὠνομάσθη | (1082) πρὸς τὸν πόντον βλέπουσα, ἀφορῶσα | κληθήσεται |

(1083) Οὗτοι δὲ Πελασγῶν | περὶ τὰ ῥεύματα τοῦ Μέμβλητος, ποταμοῦ Ἰταλίας πλησίον Λευκανῶν | (1084) τὴν Κέρνην νῆσον, παραγωγῶς | ἐκπεπλευκότες | (1085) ὑπὲρ τὸν Τυρσηνὸν πόρον | Λάμητος, ποταμοῦ Ἰταλίας | (1086) ἐν ταῖς Λαμητίαις δίναις οἰκήσουσιν | ἔθνος Ἰταλίας οἱ Λευκανοί |

(1087) Καὶ τοὺς μὲν λῦπαι | καὶ συμφοραὶ πολυσχεδεῖς | (1088) ἀνυπόστροφον θρηνοῦντας τύχην ἕξουσιν | (1089) τῶν ἐμῶν δυσγάμων ἕνεκεν | βιαστικῶν μίξεων· ῥυστάζειν ἐστιν τὸ μετὰ βίας καὶ ἀνάγκης ἕλκειν καὶ μίγνυσθαι γυναικί | (1090) οὐδὲ οἱ πολλῷ τῷ χρόνῳ ἀναστρεφόμενοι | εἰς τοὺς οἴκους ἀσπαστῶς, ἀσμένως | (1091) εὐχῆς ἄξιον ἐκλάμψουσιν ἢ ἐκκαύσουσιν | περιφραστικῶς τὰ θύματα |

1078 *ἀποθάνῃς editor ἀποθάνῃ BaA ἀποθανῇ Bachm.* 1080 *φοινικοῖς A* 1083 *περὶ ῥεύματος B π. τὰς ῥοὰς A* om. *f* 1084 *κέρκην B* *παράγωγος Ba* 1085 *ποταμὸς B* 1087 *τούτους Af* 1090 lemma *οὐδ' — ἀσπαστῶς A*

χάριν τίνοντες Κερδύλᾳ Λαρυνθίῳ.
τοιαῖσδ' ἐχῖνος μηχαναῖς οἰκοφθορῶν
παραιολίξει τὰς ἀλεκτόρων πικρὰς
στεγανόμους ὄρνιθας. οὐδὲ ναυφάγοι
λήξουσι πένθους δυσμενεῖς φρυκτωρίαι
πτόρθου διαρραισθέντος, ὃν νεοσκαφὲς
κρύψει ποτ' ἐν κλήροισι Μηθύμνης στέγος.
Ὁ μὲν γὰρ ἀμφὶ χύτλα τὰς δυσεξόδους
ζητῶν κελεύθους αὐχενιστῆρος βρόχου
ἐν ἀμφιβλήστρῳ συντεταργανωμένος
τυφλὰς ματεύσει χερσὶ κροσσωτοὺς ῥαφάς.
θερμὴν δ' ὕπαι λουτρῶνος ἀρνεύων στέγην
τιβῆνα καὶ κύπελλον ἐγκάρῳ ῥανεῖ,
τυπεὶς σκεπάρνῳ κόγχον εὐθήκτῳ μέσον.
οἰκτρὰ δὲ πέμφιξ Ταίναρον πτερύξεται,

1092 *κερδύλω B* (*λ* in litura, *ν* videtur fuisse) *κερδύλω* (α superscr.) *C²* *λαρβυθίῳ D* 1093 *τοιῆσδ' C* (primo *αι* scripserat) 1094 *παρβουκολίξει D* 1095 *οἱ δὲ A* (correxit *A²*, *οὐδὲ V*) 1099 *διεξόδους A* (correxit *A²*) *E* 1101 *ὡς ἐν A* (item *V*) *ἐν* prope erasum, *γρ. ἐν* marg. *A²* 1102 *τυφλὰς ABΠ τυφλαῖς CDE* *κροσωτοὺς B κορσωτοὺς E* lemm. *A* *κιρσωτοὺς* (ας superscr.) *C²* *κορφωτοὺς A*

(1092) τὴν χάριν ἀποδιδόντες | τῷ Διί· τὰ γὰρ δύο ἐπώνυμά εἰσι τοῦ Διός | (1093) τοιαύταις δὲ ὁ Ναύπλιος, Παλαμήδους πατήρ. ζῷον θαλάσσιον πανοῦργον, νῦν δὲ λέγει τὸν Ναύπλιον μεταφορικῶς | μηχαναῖς τοὺς οἴκους φθείρων | (1094) ἀπατήσει, πλανήσει, παραλογήσεται | τὰς τῶν ὁμολέκτρων ἀνδρῶν, ἢ καὶ διὰ τὸ μάχιμον | (1095) τὰς κατοικιδίους ὄρνεις, μεταφορικῶς τὰς τῶν Ἑλλήνων γυναῖκας | πῦρ γὰρ ἅψας καὶ λαμπάδα ποιήσας περὶ τὰ κοῖλα τῆς Εὐβοίας ἐπλάνησεν τοὺς Ἕλληνας καὶ διέφθειρεν αὐτοὺς καὶ τὰς ναῦς αὐτῶν | (1096) τοῦ πένθους παύσονται | αἱ δυσμενεῖς λαμπάδες, τὰ φῶτα | (1097) κλάδου· νῦν δὲ τὸν Παλαμήδην λέγει διὰ τὸ ἀκμαῖον. διαφθαρέντος | ὅντινα νεωστὶ ἐσκαμμένον, νεόθαπτον | (1098) κρύψει ποτὲ ἐν τῇ κληρουχίᾳ | Μήθυμνα πόλις Λέσβου· ἔχει δὲ πέντε πόλεις ἡ Λέσβος· Μήθυμναν, Μιτυλήνην, Πύρραν, Ἄντισσαν, Ἐρεσσόν |

(1099) Ὁ μὲν γὰρ Ἀγαμέμνων περὶ τὰ λουτρὰ | τὰς μὴ ἐχούσας ἔξοδον (1100) ἐπιζητῶν ὁδούς | τὸ στόμα τοῦ ἱματίου λέγει | (1101) εἶδος σαγήνης. ὡς ἐν δικτύῳ | συμπεπλεγμένος ἢ συνδεδεμένος | (1102) τυφλὰς ζητήσει ταῖς χερσί | τὰς τοῦ λίνου ἀδιεξόδους ῥαφάς | (1103) ὑπὸ τὴν θερμὴν δὲ τοῦ λουτροῦ· θερμὴν στέγην τὸν τόπον, ἔνθα ἐστὶν ὁ λουτρών· ἔστι δὲ εὐθεία | πηδῶν καὶ ἀλλόμενος στέγην | (1104) τὸν τρίποδα καὶ τὸ ἀγγεῖον τοῦ τρίποδος | ἐν τῷ ἐγκεφάλῳ ῥανεῖ | (1105) πληγεὶς τῷ πελέκει τὸν κόγχον· ἔστι δὲ ὀστοῦν περὶ τὸν ἐγκέφαλον | τῷ εὐακονήτῳ μεταξύ | (1106) ἡ ἐλεεινὴ δὲ ψυχή· ἔνθα κάθοδός ἐστιν Ἅιδου | ἀκρωτήριον Λακωνικῆς. πετασθήσεται |

1095 *πῦργος B* 1102 *διεξόδους a*

λυγρὰν λεαίνης εἰσιδοῦσ᾽ οἰκουρίαν.
ἐγὼ δὲ δροίτης ἄγχι κείσομαι πέδῳ,
Χαλυβδικῷ κνώδοντι συντεθραυσμένη,
ἐπεί με, πεύκης πρέμνον ἢ στύπος δρυὸς
ὅπως τις ὑλοκουρὸς ἐργάτης ὀρεύς,
ῥήξει πλατὺν τένοντα καὶ μετάφρενον
καὶ πᾶν λακίζουσ᾽ ἐν φοναῖς ψυχρὸν δέμας
δράκαινα διψὰς κἀπιβᾶσ᾽ ἐπ᾽ αὐχένος
πλήσει γέμοντα θυμὸν ἀγρίας χολῆς,
ὡς κλεψίνυμφον κοὐ δορίκτητον γέρας
δύσζηλος ἀστέμβακτα τιμωρουμένη.
βοῶσα δ᾽ οὐ κλύοντα δεσπότην πόσιν
θεύσω κατ᾽ ἴχνος ἠνεμωμένη πτεροῖς.
σκύμνος δὲ πατρὸς κῆρα μαστεύων φόνου
εἰς σπλάγχν᾽ ἐχίδνης αὐτόχειρ βάψει ξίφος,
κακὸν μίασμ᾽ ἔμφυλον ἀλθαίνων κακῷ.
Ἐμὸς δ᾽ ἀκοίτης, δμωίδος νύμφης ἄναξ,

1107 *λυπρὰν V* 1108 *δροῖτις AB* 1110 *πρύμνον B* 1113 *παλλακίζουσ᾽* v. l. in *S* 1114 *αὐχένα CDE* 1116 *δορύκτητον BD* 1117 *ἀστέμβακτα ABs γρ. καὶ ἀ σ τ έ μ β α κ τ α παρὰ τὸ στεύω* (*στέμβω Bachm.*) *τὸ κινῶ, ἐξ οὗ καὶ ἀστεμφής* int. lin. *C*[2] *ἀτέμβακτα* subest interpretationi *μεμπτά Ps ἀστένακτα CDEpS* cf. *Et. M.*

(1107) τὴν λυπηρὰν τῆς λεαίνης εἰσιδοῦσα | οἴκου φυλακήν· λέγει δὲ Κλυταιμνήστραν | (1108) ἐγὼ δ᾽ ἡ Κασάνδρα πλησίον τῆς πυέλου | ἀναιρεθήσομαι | (1109) τῷ ἐκ Χαλύβων· ἔστι δὲ ἔθνος Παφλαγονίας οἱ Χάλυβες, παρ᾽ οἷς δοκεῖ πρώτοις σίδηρος εὑρεθῆναι | τῷ πελέκει συντετριμμένη | (1110) ἀφ᾽ οὗ με ὁ τῆς πεύκης κλάδος καὶ στέλεχος | ἢ τὸ στέλεχος τοῦ δρυός, κλάδον | (1111) ὅπως τις ὑλοτόμος, δρυτόμος | ὁ ἐν τῷ ὄρει διατρίβων ἐργάτης | (1112) κόψει τὸ πλατὺ νεῦρον τοῦ αὐχένος | καὶ τὸν μεταξὺ τῶν φρενῶν, τῶν ὤμων, τόπον | (1113) καὶ ὅλον ὑβρίζουσα ἢ ἀφανίζουσα ἐν τοῖς τοῦ φόνου τόποις, ἔνθα ἐφονεύθη. καὶ Ὅμηρος·
ἐν ἀργαλέῃσι φονῇσι |
νῦν τὸ νεκρὸν καὶ ἄψυχον σῶμα | (1114) ἡ ἔχιδνα Κλυταιμνήστρα· ἔλαβεν δὲ εἶδος ἀντὶ εἴδους | καὶ ἐπὶ τοῦ αὐχένος βᾶσα | (1115) πληρώσει τὸν γέμοντα θυμὸν ἀγρίας χολῆς | (1116) ὡς μοιχὸν καὶ ἐπιβάτην | καὶ οὐ δορυάλωτον τιμὴν (1117) ἡ βαρύζηλος | πολυστένακτα, μεμπτὰ τιμωρουμένη | (1118) βοῶσα μὴ ἀκούοντα δεσπότην πόσιν ἤγουν ἄνδρα | (1119) δραμοῦμαι κατ᾽ ἴχνος | ἢ τοῖς πτεροῖς ἀνεμόφοιτος, ἐξ οὗ ταχεῖα | (1120) ὁ Ὀρέστης, τοῦ πατρός | ζητῶν τὴν φόνου μοῖραν, ὅθεν μαστός ὁ ζητητικός | (1121) εἰς τὰ σπλάγχνα τῆς ἐχίδνης, μητρὸς Κλυταιμνήστρας | τὸ ξίφος βάψει αὐτόχειρ | (1122) ἐμφύλιον κακὸν μίασμα τῷ κακῷ ἰώμενος |
(1123) Ὁ ἐμὸς δ᾽ ἀνὴρ Ἀγαμέμνων | ὁ βασιλεὺς τῆς δούλης νύμφης |

1109 *χαλύβδων* et *χάλυβδες B* 1113 *K 521* 1120 *μαστρὸς Bachm. Anecdd. p. 265* fors. *μαστήρ Bachm. Lyc. p. 232* cf. *Lyc. 1023* *ζητητής*?

Ζεὺς Σπαρτιάταις αἱμύλοις κληθήσεται,
τιμὰς μεγίστας Οἰβάλου τέκνοις λαχών.
οὐ μὴν ἐμὸν νώνυμνον ἀνθρώποις σέβας
ἔσται μαρανθὲν αὖθι ληθαίῳ σκότῳ.
σηκὸν δέ μοι τεύξουσι Δαυνίων ἄκροι
Σάλπης παρ᾽ ὄχθαις, οἵ τε Δάρδανον πόλιν
ναίουσι, λίμνης ἀγχιτέρμονες ποτῶν.
κόραι δὲ παρθένειον ἐκφυγεῖν ζυγὸν
ὅταν θέλωσι, νυμφίους ἀρνούμεναι
τοὺς Ἑκτορείοις ἠγλαϊσμένους κόμαις,
μορφῆς ἔχοντας σῖφλον ἢ μῶμαρ γένους,
ἐμὸν περιπτύξουσιν ὠλέναις βρέτας,
ἄλκαρ μέγιστον κτώμεναι νυμφευμάτων
Ἐρινύων ἐσθῆτα καὶ ῥέθους βαφάς,
πεπασμέναι θρόνοισι φαρμακτηρίοις.
Κείναις ἐγὼ δηναιὸν ἄφθιτος θεὰ

1126 *νώνυμνον CF Herm. Allg. Schulz. 1831 p. 403 G Herm. V 235 νώνυμον V* 1127 *ληθαίῳ σκότῳ* om. *B* 1128. 1129. 1130 omissos in inferiore margine addidit *E*[2] 1128 *ναὸν V* 1131 *κοῦραι V* *παντέλειον Valck. Eur. Hipp. 1425* 1132 *ὅτ᾽ ἂν θέλουσι* (superscr. *οὐ*, *ω*) *C*[2] (*ω* tantum secundae manus est) *ὅτ᾽ οὐ θέλουσι D γρ. ὅτ᾽ οὐ θέλωσι* int. lin. *E* *ἀρνύμεναι A* 1133 *τοῖς B* *ἑκτορείους D ἑκτορείαις E* *ἠγλαϊσμέναις B* 1134 *μορφὴν B* *σίφλον BE σίμφλον D* 1137 *ἐριννύων CD* 1138 *πεπασμέναι* cl. *Π editor πεπαμέναι CD πεπαμμέναι ABE*

(1124) ὁ Ἀγαμέμνων τοῖς Σπαρτιάταις | δολίοις, πανούργοις ὀνομασθήσεται | (1125) Οἴβαλος βασιλεὺς Λακεδαίμονος· τούτου τοῖς υἱέσι τιμώμενος | (1126) οὐ μὴν τὸ ἐμὸν σέβας ἀκατονόμαστον | ἀνθρώποις τιμὴν | (1127) ἀφανισθὲν αὐτόθι γενήσεται | (1128) ναὸν δέ μοι οἰκοδομήσουσιν οἱ Ἰταλοὶ ἀρχοί | (1129) παρὰ ταῖς ὄχθαις τῆς Σάλπης, λίμνης Ἰταλίας | καὶ οἳ τὴν Δάρδανον, πόλιν Ἰταλίας | (1130) κατοικοῦσι τῆς λίμνης | οἱ πλησιόχωροι, ὅμουροι τῶν ναμάτων | (1131) αἱ κόραι δὲ τὸν πρέποντα ταῖς παρθένοις | ἐκφυγεῖν γάμον | (1132) ὁπόταν θέλωσι, τοὺς νυμφίους ἀρνούμεναι | (1133) Ἕκτορος ἡ κόμη εἶδος κεκαλλωπισμένης τριχός· κόμη τις λέγεται, ἣ τὰ ὀπίσω καθιέμενα, τὰ δὲ ἔμπροσθε κεκαρμένα ἔχει | (1134) μορφῆς ἔχοντας μομφήν | ἢ γένους ψόγον καὶ μῶμον | (1135) τὸ ἐμὸν ἀσπάσονται καὶ περιλάβωσιν ταῖς χερσὶν εἴδωλον, ξόανον | (1136) δύναμιν ἢ βοήθειαν κτώμεναι νυμφευμάτων | (1137) τὴν τῶν Ἐρινύων ἐσθῆτα, τὴν φαιὰν ἢ τὴν μέλαιναν | καὶ προσώπου χρόας, τουτέστιν τοῖς ποικίλοις χρώμασιν | (1138) βεβαμμέναι, ἠλειμμέναι τοῖς βαπτηρίοις τοῖς πυρροῖς | τοῖς ποικίλως κατεσκευασμένοις φαρμάκοις |

(1139) Ἐκείναις δ᾽ ἐγὼ ἐπὶ πολὺν χρόνον | ἡ ἄφθαρτος θεά |

1127 *γενήσεται τῷ τῆς λήθης σκότῳ aAſ* 1134 *μορφῆς* pro *μορφὴν Bachm.* 1135 *περιλαβοῦσιν BA*

ῥαβδηφόροις γυναιξὶν αὐδηθήσομαι.
πένθος δὲ πολλαῖς παρθένων τητωμέναις
τεύξω γυναιξὶν αὖθις, αἳ στρατηλάτην
ἀθεσμόλεκτρον, Κύπριδος ληστὴν θεᾶς,
δαρὸν στένουσαι κλῆρον εἰς ἀνάρσιον
στελοῦσι παῖδας ἐστερημένας γάμων.
Λάρυμνα καὶ Σπερχειὲ καὶ Βοάγριε
καὶ Κῦνε καὶ Σκάρφεια καὶ Φαλωριὰς
καὶ Ναρύκειον ἄστυ καὶ Θρονίτιδες
Λοκρῶν ἀγυιαὶ καὶ Πυρωναῖαι νάπαι
καὶ πᾶς Ὁδοιδόκειος Ἰλέως δόμος,
ὑμεῖς ἐμῶν ἕκατι δυσσεβῶν γάμων
ποινὰς Γυγαίᾳ τίσετ' Ἀγρίσκᾳ θεᾷ
τὸν χιλίωρον τὰς ἀνυμφεύτους χρόνον
πάλου βραβείαις γηροβοσκοῦσαι κόρας.
αἷς ἀκτέριστος ἐν ξένῃ ξέναις τάφος

1145 *πέμψουσι V* 1148 *νωρύκειον E γρ. καὶ κωρύκειον* inter lin. *D Ναρυκαῖον Steph.?* 1149 *Πυρωναῖαι Steph. πυράνθιοι BCDE πυρνάνθιοι A* 1152 *γυιγαία B γιγαία C* (correxit C^2) *τίσαιτ' E τίσεθ' D* (superscr. *αι*) *τίσσαισθ' C* 1155 *ξένη ξένος B ξένη ξένος E* (superscr. *αις*) *ξένη ξένη D*

(1140) ταῖς θυρσοφόροις γυναιξὶν φωνηθήσομαι | (1141) πολλαῖς δὲ θρῆνος παρθένων στερισκομέναις | (1142) κατασκευάσω γυναιξὶν αὐτόθι | αἳ τὸν Αἴαντα τὸν Λοκρόν | (1143) τὸν ἀθέσμως αὐτῇ μιγέντα, τῆς Ἀφροδίτης | τῆς θεᾶς τὸν ληστὴν καὶ ἅρπαγα καὶ βιαστήν | (1144) μακρὸν στενάζουσαι | εἰς τὸν ἀνάρμοστον καὶ ἐχθρὸν καὶ βλαβερὸν κλῆρον | (1145) τὰς παῖδας πέμψουσιν | γάμων ἐστερημένας | (1146) πόλις [Κολχίδος] Λοκρίδος | ποταμὸς Θεσσαλίας· Ὅμηρος·

Σπερχεῖ', ἄλλως μέν σοί γε πατὴρ ἠράσατο |

ποταμὸς Λοκρίδος | (1147) πόλεις Λοκρίδος ἀμφότεραι | πόλις Λοκρίδος | (1148) καὶ πόλις Λοκρίδος | καὶ πόλις Λοκρίδος | (1149) αἱ τῶν Λοκρῶν ἀγυιαὶ | καὶ ὄρους Θεσσαλίας οἱ σύμφυτοι τόποι | (1150) καὶ πᾶς ὁ τοῦ Ὁδοιδόκου πατρὸς Ὀιλέως, πάππου Αἴαντος | ὁ τοῦ Ὀιλέως οἶκος | (1151) ὑμεῖς χάριν τῶν ἐμῶν δυσσεβῶν γάμων | (1152) τιμωρίας τῇ Ἀθηνᾷ | Γυγαία καὶ Ἀγρίσκα ἐπώνυμα Ἀθήνης. ἀποτίσετε | (1153) τὸν χιλιετῆ· ὦρος γὰρ ὁ ἐνιαυτός· Ὅμηρος·

ἀλείφατος ἐννεώροιο |

(1154) πάλος ὁ κλῆρος· κλήρῳ γὰρ ἐστέλλοντο, ὡς καὶ Ὅμηρος | τὰς κόρας γηροβοσκοῦσαι | (1155) αἷστισιν ἄταφος ἐν ἀλλοτρίᾳ ταῖς ξέναις ὁ τάφος |

1140 *αὐδηθήσομαι φονευθήσομαι B* 1141 *πένθος Af* 1144 *καὶ* ante *βλαβερὸν* om. *B* 1146 *Κολχίδος* om. *aAf Ψ 144* 1149 *ἀγοραὶ B* 1152 *ἀποτίσετε* pro *ἀποτίσεται Bachm.* 1153 *Σ 351* 1155 *ἄταφος* pro *ἄταφον Bachm.*

ψάμμῳ κλύδωνος λυπρὸς ἐκκλυσθήσεται,
ἐπὴν ἀκάρποις γυῖα συμφλέξας φυτοῖς
Ἥφαιστος εἰς θάλασσαν ἐκβράσῃ σποδὸν
τῆς ἐκ λόφων Τράρωνος ἐφθιτωμένης.
ἄλλαι δὲ νύκτωρ ταῖς θανουμέναις ἴσαι
Σιθῶνος εἰς θυγατρὸς ἵξονται γύας,
λαθραῖα κακ κέλευθα παπταλώμεναι,
ἕως ἂν εἰσθρέξωσιν Ἀμφείρας δόμους
λιταῖς Σθένειαν ἴκτιδες γουνούμεναι.
θεᾶς δ' ὀφελτρεύσουσι κοσμοῦσαι πέδον
δρόσῳ τε φοιβάσουσιν, ἀστεργῆ χόλον
ἀστῶν φυγοῦσαι. πᾶς γὰρ Ἰλιεὺς ἀνὴρ
κόρας δοκεύσει, πέτρον ἐν χεροῖν ἔχων
ἢ φάσγανον κελαινὸν ἢ ταυροκτόνον
στερρὰν κύβηλιν ἢ Φαλακραῖον κλάδον,
μαιμῶν κορέσσαι χεῖρα διψῶσαν φόνου.

1156 *ἐκκλυσθήσεται* (*ἐλ* supra) *C*[2] *ἐκλυσθήσεται ABD* 1157 *ἐπὴν editor ὅταν BCDE ὅταν δ' A* (*δ'* prope deletum. extat in lemm. et in *V*) *Π φυτοῖς ἀκάρποις γυῖα συμφλέξας ὅταν GHerm. V 246 συμφλέξῃ* vide *Π* 1158 *ἐκβράσει* vide *Π ἐκβράσσει B* 1161 *γυίας ABCD* 1162 *κακ κέλευθα T* cf. *GHerm. V 247 κακκέλευθα E κἀκκέλευθα CD κἀκέλευθα A ἆκέλευθα B* cf. *Π πεπταλώμεναι E* 1163 omissum inseruit *C*[2] 1164 *ἴκτιδες Nauck Eur. St. I 5 Dind. ad Soph. OR 185 ἱκέτιδες ACDE ἱκέτιδος B ἴκτορες GHerm. V 241 γονούμεναι C* 1165 *ὀφελτρεύσωσι D ὀφελτρεύωσι C* 1166 *δὲ B φοιβάσωσιν CD* cf. *Π ω* in *ου* mutavit *E*

(1156) τῇ ψάμμῳ τοῦ κλύδωνος | ὁ λυπηρὸς ἀφανισθήσεται | (1157) ὅταν δὲ τὰ μέλη τοῖς ἀγρίοις | συμφλέξῃ ξύλοις | (1158) ἡ τοῦ πυρὸς οὐσία. εἰς τὴν θάλασσαν | ἐκρίψει τὸν χοῦν | (1159) τῆς ἐκ τῶν ἄκρων τοῦ ἀκρωτηρίου Τροίας | ἐφθαρμένης. (1160) αἱ δὲ λοιπαὶ νύκτωρ | ταῖς ἀποθνησκούσαις ἴσαι | (1161) τόπος ἐν Τροίᾳ ἡ Σιθών. ἀντὶ τοῦ· εἰς τὴν Τροίαν | παραγενήσονται | (1162) σκοτεινὰ καὶ κακοκέλευθα· τὸ γὰρ ᾱ κακὸν σημαίνει, ὡς τὸ ἄφωνος | περισκοποῦσαι | (1163) μέχρις ἂν εἰσδράμωσιν | τῆς Ἀθηνᾶς εἰς τοὺς οἴκους | (1164) προσευχαῖς τὴν Ἀθηνᾶν αἱ ἱκέτιδες παρακαλοῦσαι | (1165) τῆς δὲ θεᾶς καλυνοῦσι | τὸ ἔδαφος κοσμοῦσαι | (1166) τῷ ὕδατι καθαρὸν ποιήσουσι | τὴν ἀστεργῆ ὀργὴν (1167) τῶν πολιτῶν φυγοῦσαι | πᾶς γὰρ ἀνὴρ Ἰλιεὺς ἤγουν Τρώς, ὁ ἐξ Ἰλίου | (1168) τὰς κόρας ἐπιτηρήσει, ὑποδέξεται, σκοπήσει, λίθον | ἐν ταῖς χερσὶ κρατῶν | (1169) ἢ ξίφος ὀξὺ καὶ μέλαν ἢ ταυροκτόνον | (1170) ἰσχυρὸν πέλεκυν. κύβηλις· πέλεκυς | ἢ κλάδον ἀπὸ Φαλακραίου ὄρους | (1171) ἐπιθυμῶν κορέσαι τὴν χεῖρα | τὴν διψῶσαν φόνου |

1156 *συμφλέξας af* 1158 *ἐκρίψῃ a* 1159 *τροίης B* 1161 *τοῦ* om. *B* 1162 *λαθραῖα κακοέλευθα A* 1165 *δὲ* om. *B καλυνοῦσι* (*λ* supra) *Ba*[2] 1166 *ποιήσωσιν B*

δῆμος δ' ἀνατεὶ τὸν κτανόντ' ἐπαινέσει,
τεθμῷ χαράξας, τοὐπιλώβητον γένος.

* * *

Ὦ μῆτερ, ὦ δύσμητερ, οὐδὲ σὸν κλέος
ἄπυστον ἔσται, Περσέως δὲ παρθένος
Βριμὼ τρίμορφος θήσεταί σ' ἐπωπίδα
κλαγγαῖσι ταρμύσσουσαν ἐννύχοις βροτούς,
ὅσοι μεδούσης Στρυμόνος Ζηρυνθίας
δείκηλα μὴ σέβωσι λαμπαδουχίαις,
θύσθλοις Φεραίαν ἐξακεύμενοι θεάν.
ψευδήριον δὲ νησιωτικὸς στόνυξ
Πάχυνος ἕξει σεμνὸν ἐξ ὀνειράτων
ταῖς δεσποτείαις ὠλέναις ὠγκωμένον
ῥείθρων Ἑλώρου πρόσθεν ἐκτερισμένης·
ὃς δὴ παρ' ἀκταῖς τλήμονος ῥανεῖ χοάς,
τριαύχενος μήνιμα δειμαίνων θεᾶς,
λευστῆρα πρῶτος οὕνεκεν ῥίψας πέτρον
Ἅιδη κελαινῶν θυμάτων ἀπάρξεται.

1172 *ἀνατὶ A* (*ι* in *ει* mutavit *A²*) *B* post 1173 inserendi sunt versus 1214—1225 1175 *ἄπαυστον B ἄπιστον* (*υ* supra *ι*) *D* 1176 *ἐπωπίδα DE ἰπωπίδα ΠS Et.M.* 1177 *ταρμύσσουσαν ΑΒΠEt.M. ταρβύσσουσαν D ταρβήσουσαν CE* 1178 *ζηριυθίας A* 1179 *σέβωσιν B σέβουσι CD* 1181 *δὲ* om. *D* 1184 post 1185 collocari jussit *Cant.* 1187 *πρῶτος ΑΒΠ πρῶτον CDE οὕνεκα CDE*

(1172) ὁ δῆμος ἄνευ ἄτης καὶ βλάβης καὶ κινδύνου | τὸν ἀναιροῦντα ἐπαινέσει | (1173) τῷ θεσπίσματι χαράξας καὶ τῷ νόμῳ νόμιμον ποιήσας | τὸ ἀλώβητον γένος |

περὶ Ἑκάβης. (1174) Ὦ μῆτερ, ὦ κακόμητερ, οὐδὲ τὴν σὴν δόξαν | (1175) ἀνάκουστον ἔσται | τὴν Ἑκάτην λέγει· ἀπὸ Περσέως γὰρ καὶ Ἀστερίας | (1176) ἡ τρικέφαλος Ἑκάτη. παρὰ τὸ βριμᾶσθαι | ποιήσει σε ἀκόλουθον ἢ ἐπίσκοπον | (1177) ταῖς ὑλακαῖς ἐκφοβοῦσαν | ταῖς νυκτεριναῖς τοὺς ἀνθρώπους | (1178) ὅσοι τῆς βασιλίσσης Ἑκάτης | τῆς Θρακικῆς, τῆς Ἑκάτης | (1179) τὰ ξόανα καὶ ἀγάλματα μὴ τιμῶσιν | φρυκτωρίαις ἢ λαμπάσιν | (1180) κλάδοις τὴν Ἑκάτην | τὴν θεὰν ἐξευμενίζουσαι | (1181) κενοτάφιον δὲ ὁ νησιωτικὸς τῇ Ἑκάβῃ. νῦν τὸ ἀκρωτήριον ὡς εἰς ὀξὺ λῆγον | (1182) σεβάσμιον ἕξει τὸ ἀκρωτήριον Σικελίας | ἐκ τῶν ὀνείρων (1183) ταῖς ἀρχοντικαῖς χερσίν | ᾠκοδομημένον | (1184) ἔμπροσθε τῶν ῥείθρων τοῦ Ἑλώρου, ποταμοῦ Σικελίας | τεθαμμένης. Ὅμηρος·

κτεριοῦσί με δῖοι Ἀχαιοί |

(1185) ὅστις δὴ παρὰ τοῖς αἰγιαλοῖς τῆς ταλαιπώρου | τὰς ἐπὶ νεκρῷ χεύσεις ῥανεῖ | (1186) τρικεφάλου, τῆς Ἑκάτης | μήνιμα, ὀργὴν φοβούμενος τῆς θεᾶς | (1187) πρῶτος [δὲ] τὸν λίθον τὸν καταλεύστην | διότι τὸν λίθον ῥίψας | (1188) τῷ Ἅιδῃ μελάνων θυμάτων | ἀπαρχὰς δώσει· λέγει δὲ τὸν Ὀδυσσέα |

1172 *ἀναιρόντα B κτανόντα a* 1174 lemma *ὦ μῆτερ — ἔσται A ἡ σὴ δόξα A* 1175 *ἀνάκουστος A Ἑκάβην Bachm. Lyc. p. 332* 1178 *θράκης Ba* 1180 *ἐξευμενίζεσθαι A* 1184 *Λ 455* 1185 *χύσεις Bachm.* 1187 *δὲ* inclusi 1188 *μελανῶν As δῷ s*

Σὺ δ', ὦ ξύναιμε, πλεῖστον ἐξ ἐμῆς φρενὸς
στερχθείς, μελάθρων ἕρμα καὶ πάτρας ὅλης,
οὐκ εἰς κενὸν κρηπῖδα φοινίξεις φόνῳ
ταύρων, ἄνακτι τῶν Ὀφίονος θρόνων
πλείστας ἀπαρχὰς θυμάτων δωρούμενος.
ἀλλ' ἄξεταί σε πρὸς γενεθλίαν πλάκα
τὴν ἐξόχως Γραικοῖσιν ἐξυμνημένην,
ὅπου σφε μήτηρ ἡ πάλης ἐμπείραμος
τὴν πρόσθ' ἄνασσαν ἐμβαλοῦσα Ταρτάρῳ
ὠδῖνας ἐξέλυσε λαθραίας γονῆς,
τὰς παιδοβρώτους ἐκφυγοῦσ' ὁμευνέτου
θοίνας ἀσέπτους· οὐδ' ἐπίανεν βορᾷ
νηδὺν τὸν ἀντίποινον ἐκλάψας πέτρον
ἐν γυιοκόλλοις σπαργάνοις εἰλημένον
τύμβος γεγὼς Κένταυρος ὠμόφρων σπορᾶς.
νήσοις δὲ μακάρων ἐγκατοικήσεις μέγας
ἥρως, ἀρωγὸς λοιμικῶν τοξευμάτων,

1192 *ὀφί$\overset{\text{ο}}{\text{ω}}$νος* *C ὀφίωνος ABDE* cf. *GHerm. V* 247 1193. 1194. 1195 omissos in inferiore margine adiecit *E*[2] 1195 *ἐξυμνουμένην D* 1197 *ἐκβαλοῦσα A* (correxit *A*[2]) *B* cf. *Π ταρτάρω• A* (*ταρτάραν V*) cf. *Π* 1200 *ἐπίανε ACD* 1202 *εἰλημένον C εἰλημμένον A εἰλιμμένον D* 1204 *δὲ* erasum in *A* (extat in *V*) om. *D* *νήσοις μακάρων δ' E*

(1189) Σὺ δέ, ὦ ἄδελφε | πλεῖστον ἐκ τῆς ἐμῆς διανοίας | (1190) ἀγαπηθείς, ἔρεισμα, φύλαγμα, ἀσφάλεια τοῦ οἴκου | καὶ ὅλης τῆς πατρίδος | (1191) οὐκ εἰς μάταιον τὴν βάσιν τοῦ βωμοῦ | βάψεις, αἱμάξεις αἵματι καὶ τῷ φόνῳ | (1192) τῶν ταύρων, τῷ βασιλεῖ καὶ θεῷ | Ὀφίων ὁ βασιλεὺς τῶν Τιτάνων, ὅ ἐστι Ζεύς | (1193) πολλὰς θυσίας | θυμάτων παρέχων. (1194) ἀλλ' ἄξει σε· πρὸς τὰς Θήβας λέγει | (1195) τὴν ἐξόχως τοῖς Ἕλλησιν ᾀδομένην | (1196) ὅπου αὐτὸν ἡ μήτηρ Ῥέα | ἡ τῆς μάχης ἔμπειρος | (1197) τὴν ἔμπροσθεν βασίλισσαν | ἐκβαλοῦσα τῶν Ταρτάρων | (1198) τὰς ὠδῖνας διέλυσε λαθραίας γονῆς | (1199) τὰς παιδοφθόρους· λέγει δὲ τοῦ Κρόνου· ἐκφυγοῦσα τοῦ ὁμοζύγου | (1200) εὐωχίας ἀσέπτους, ἀντὶ τοῦ ἀπρεπεῖς | οὐδαμῶς ἐλίπανεν τῇ τροφῇ | (1201) τὴν γαστέρα, τὸν ἀντιδοθέντα λίθον | καταπιὼν τὸν λίθον, παρὰ τὸ λάπτω | (1202) ἐν τοῖς τὸ σῶμα συσφίγγουσι σπαργάνοις | ἐνειλημένον | (1203) τάφος γεγονὼς ὁ Κρόνος | ὠμὰ φρονῶν κατὰ τῶν τέκνων | (1204) ἐν Θήβαις ταῖς Βοιωτικαῖς τόπος καλεῖται μακάρων νῆσοι, περιρρεόμενος ὑπὸ Ἰσμήνου καὶ Δίρκης, ἔνθα καὶ τὸ τοῦ Διός | ὁ μέγας ἐγκατοικήσεις | (1205) ἡμίθεος, βοηθὸς τῆς λοιμικῆς νόσου, διώκτης |

193 *πλείστας ἀπαρχὰς καὶ θυσίας τῶν θυμάτων δωρούμενος f* idem praeterquam quod *τῶν θυμάτων* om. *A* 1194 *ἕξει B* 1196 *ἐμβαλοῦσα A τῷ ταρτάρῳ f* idem radendo effectum in *a* (e *τῶν ταρτάρων*?) *ταρτάρου A* 1202 *ἐνειλημένον editor εἰλημμένον ἀνειλημμένον B ἐνειλημμένον aAf* 1204 post *Διός* excidit *γενέθλιον* *τὰς θήβας λέγει ὁ Λυκόφρων* pro *ἐν* — *Διός Af* om. *a τὰς θήβας λέγει νήσους μακάρων* marg. *B*

ὅποι σε πεισθεὶς Ὠγύγου σπαρτὸς λεὼς
χρησμοῖς Ἰατροῦ Λεψίου Τερμινθέως
ἐξ Ὀφρυνείων ἠρίων ἀνειρύσας
ἄξει Καλύδνου τύρσιν Ἀόνων τε γῆν
σωτῆρ', ὅταν κάμνωσιν ὁπλίτῃ στρατῷ
πέρθοντι χώραν Τηνέρου τ' ἀνάκτορα.
κλέος δὲ σὸν μέγιστον Ἐκτήνων πρόμοι
λοιβαῖσι κυδανοῦσιν ἀφθίτοις ἴσον.
* *Ἥξει δὲ Κνωσσὸν κἀπὶ Γόρτυνος δόμους*
τοὐμὸν ταλαίνης πῆμα, πᾶς δ' ἀνάστατος
ἔσται στρατηγῶν οἶκος. οὐ γὰρ ἥσυχος
πορκεὺς δίκωπον σέλμα ναυστολῶν ἐλᾷ,
Λεῦκον στροβήσων φύλακα τῆς μοναρχίας
ψυδραῖσιν ἔχθραν μηχαναῖς ἀναφλέγων.
ὃς οὔτε τέκνων φείσετ' οὔτε συγγάμου
Μήδας δάμαρτος ἠγριωμένος φρένας,
οὐ Κλεισιθήρας θυγατρός, ἧς πατὴρ λέχος
θρεπτῷ δράκοντι συγκαταινέσει πικρόν.

1206 *ὅπου V* 1207 *τερμυθέως E* 1214 v. not. ad *1173* 1217 *περᾷ C γρ. ἐλᾷ* marg. *C* 1218 *φυλακῆς B* *τῆς* om. *BDE* 1219 *ψυδραῖσιν editor* cf. *Π* *ψυδραῖσί τ' ABDE ψυδραῖσι δ' C* *ἀναφλέγων* cl. *p* = *s editor ἀναπλέκων V* 1221 *ἠγριωμένας BC*

(1206) ὅπου πεισθείς σε. ἀρχαίου βασιλέως Θηβῶν | ὁ σπαρτὸς λαὸς (1207) χρησμῳδήμασιν | ἐπώνυμα Ἀπόλλωνος | (1207) ἐκ τῶν Ὀφρυνείων· ἔστιν δὲ τόπος Τροίας | τάφων, τύμβων ἀνελκύσας | (1209) ἄξει εἰς τὸ τεῖχος τοῦ Καλύδνου, βασιλέως τῶν Θηβῶν | τῶν Βοιωτῶν γῆν | (1210) λείπει τὸ ἐσόμενον. τῷ ὡπλισμένῳ στρατῷ | (1211) τὴν χώραν πορθοῦντι | τὰ τοῦ Τηνέρου, υἱοῦ Ἀπόλλωνος, βασιλέως Θηβῶν, βασίλεια | (1212) δόξα δὲ σή. μέγιστον. τῶν Θηβαίων οἱ πρόμαχοι | (1213) ταῖς σπονδαῖς δοξάζουσιν ἴσον τοῖς ἀφθάρτοις θεοῖς |

(1214) Παραγενήσεται δὲ εἰς πόλιν Κρήτης | καὶ εἰς τοὺς τῆς πόληος Κρήτης οἴκους· Γόρτυνα γὰρ πόλις Κρήτης | (1215) τὸ ἐμὸν κακὸν τῆς ταλαιπώρου· δυστυχήσουσι δὲ δι' ἐμὲ καὶ οἱ Κρῆτες | πᾶς δὲ ἔρημος (1216) γενήσεται τῶν στρατηγῶν ὁ οἶκος τοῦ Ἰδομενῆος | περὶ Ἰδομενῆος | (1217) ὁ ἁλιεύς· λέγει δὲ Ναύπλιον | διήρη ναῦν | ἐπὶ νηὸς καθήμενος ἐλαύνει | (1218) τὸν τῆς Κρήτης τύραννον ἀπατήσων | τὸν φύλακα τῆς μοναρχίας | (1219) ταῖς ψευδέσιν ἔχθραν | ταῖς μηχαναῖς ἀναπλέκων | (1220) ὅστις οὔτε τῶν τέκνων φείσεται | οὔτε τῆς γαμετῆς | (1221) Μήδας γυναικός· ἔστι δὲ ὄνομα κύριον τὸ Μήδας, τῆς τοῦ Ἰδομενῆος γυναικός | τὰς φρένας ἄγριος | (1222) οὐ τῆς θυγατρὸς Ἰδομενέως καὶ Μήδας Κλεισιθήρας· ἔστι δὲ ἡ εὐθεία Κλεισίθηρα | ἥστινος τὴν κοίτην ὁ πατήρ | (1223) τῷ Λεύκῳ πικρὸν ὁμογνωμονήσει |

1206 *ὁ σπαρτὸς λαὸς τοῦ ἀρχαιοτάτου βασιλέως τοῦ τῶν Θηβῶν A* 1207 *τροίης B* 1212 *μέγιστ*[o] *B μεγίστων a σὸν δὲ μέγιστον κλέος* pro *δόξα — μέγιστον Af* 1214 *πόλεως a* 1216 *οὐ γὰρ ἥσυχος* in fine addunt *aAf* 1219 *τοῖς ψεύδεσιν Ba* *ἐκκαίων καὶ ἀναζωπυρῶν* pro *ἀναπλέκων A* cf. *s*

πάντας δ' ἀνάγνοις χερσὶν ἐν ναῷ κτενεῖ,
λώβαισιν αἰκισθέντας Ὀγκαίου βόθρου. *
[Γένους δὲ πάππων τῶν ἐμῶν αὖθις κλέος
μέγιστον αὐξήσουσιν ἄμναμοί ποτε
αἰχμαῖς τὸ πρωτόλειον ἄραντες στέφος,
γῆς καὶ θαλάσσης σκῆπτρα καὶ μοναρχίαν
λαβόντες. οὐδ' ἄμνηστον, ἀθλία πατρίς,
κῦδος μαρανθὲν ἐγκατακρύψει ζόφῳ.
τοιούσδ' ἐμός τις σύγγονος λείψει διπλοῦς
σκύμνους λέοντας, ἔξοχον ῥώμῃ γένος,
ὁ Καστνίας τε τῆς Ταχειράδος γόνος,
βουλαῖς ἄριστος οὐδ' ὀνοστὸς ἐν μάχαις.
ὃς πρῶτα μὲν Ῥάκηλον οἰκήσει μολὼν
Κισσοῦ παρ' αἰπὺν πρῶνα καὶ Λαφυστίας
κερασφόρους γυναῖκας. ἐκ δ' Ἀλμωπίας

1224 *κτανεῖ AB* 1226—1280 seclusit *Welck. Gr. Tr. III 1260* 1228 *ἄραντος A* correxit A^3 *κλέος E* 1230 *ἄμνηστος B* 1231 *ἐγκατακρύψει ABΠ ἐγκατακρύψει*[ς] C^2 *ἐγκατακρύψεις DE* 1232 *ἐμός τε AB ἐμός τε*[ις] *C* 1233 *λέοντος A ἔξοχος ῥώμῃ γεγώς B* cf. *P ῥώμη*[ης] *D* 1234 *τῆς ταχειράδος B* cf. *P* et *s: Καστνία καὶ Ταύχειρα* (sic) *ἡ Ἀφροδίτη. παρὰ τὸ χειροῦσθαι διὰ τὰς ἐπιθυμίας.* extrema haec verba *παρὰ* — pertinent ad alteram lectionem *τῆς τε χειράδος ADE τῆς χειράδος C Χοιράδος Cant.* idque praebet *Marc. 465* 1236 *Ῥαίκηλον v* 1238 *Ἀλμωπίας Steph. Ἀλμωνίας v*

(1224) πάντας δ' ἀνάγνοις χερσίν | ἐν τῷ ναῷ ἀποκτενεῖ (1225) πληγαῖς τραυματισθέντας | τοῦ Ἐρινυώδους λάκκου |

(1226) Τοῦ γένους δὲ τῶν πάππων | τῶν ἐμῶν τὸ κλέος πάλιν | (1227) μέγιστον αὐξήσουσιν οἱ ἀπόγονοί ποτε | (1228) δόρασι τὸ πρωτεῖον ἄραντες στέφος, ἐπάραντες | (1229) τῆς τε γῆς καὶ θαλάσσης τά τε σκῆπτρα καὶ τὴν μοναρχίαν | (1230) οὐδὲ μὴν ἡ Ἴλιος ἀμνημόνευτος μαρανθήσεται | ταλαίπωρος πάτρα (1231) τὴν μαρανθεῖσαν δόξαν τῇ σκοτίᾳ ἐγκατακρύψει | (1232) τοιούτους δὲ ὁ ἐμὸς ἀδελφὸς καταλείψει δύο | (1233) τὸν Ῥῶμον καὶ Ῥωμύλον, ἔξοχον γένος ἐν τῇ Ῥώμῃ | (1234) Καστνία καὶ Ταχει . . ἐπώνυμα Ἀφροδίτης, υἱὸς δὲ αὐτῆς Αἰνείας | (1235) ὁ ἐν ταῖς βουλαῖς ἄριστος καὶ βέλτιστος οὐδὲ μεμπτὸς ἐν μάχαις, ἐξ οὗ ἀνδρεῖος | (1236) ὅστις πρῶτον μὲν τὴν νῦν Αἶνον πόλιν Μακεδονίας καλουμένην | οἰκήσει παραγενόμενος, ὁ Αἰνείας | (1237) τοῦ Μακεδονίας ὄρους παρὰ τὴν ἐξοχήν | Λαφύστιος ὁ Διόνυσος ἀπὸ τόπου, ἐξ οὗ Λαφυστίας λέγει τὰς Βακχικάς | (1238) τὰς κέρατα φορούσας γυναῖκας Βάκχας | ἐκ πόλεως, ἢ ὄνομα τόπου Μακεδονίας |

1224 *ἀποκτείνῃ a* 1225 *ἐριννυώδους B* 1230 *λαβόντες aA λαθόντες οὐδ' ἀμνημόνευτον f* pro *οὐδὲ — μαρανθήσεται* 1233 *ἔξοχος γεγονὼς B* 1234 *Καστνία — Ἀφροδίτης* om. *aAf* post *Ταχει* lacunam indicavit *Bachm.* *ὁ δὲ τῆς Ἀφροδίτης υἱὸς αἰνείας A δὲ* om. *a* 1237 *περὶ B*
1238 *φερούσας B κερασφοροῦσας A κερατοφόρους f ὀνόματος Ba*

παλιμπλανήτην δέξεται Τυρσηνία
Λυγκεύς τε, θερμῶν ῥεῖθρον ἐκβράσσων ποτῶν,
καὶ Πίσ' Ἀγύλλης θ' αἱ πολύρρηνοι νάπαι.
σὺν δέ σφι μίξει φίλιον ἐχθρὸς ὢν στρατόν,
ὅρκοις κρατήσας καὶ λιταῖς γουνασμάτων,
νάνος, πλάναισι πάντ' ἐρευνήσας μυχὸν
ἁλός τε καὶ γῆς. σὺν δὲ δίπτυχοι τόκοι
Μυσῶν ἄνακτος, οὗ ποτ' Οἰκουρὸς δόρυ
γνάμψει Θέοινος γυῖα συνδήσας λύγοις,
Τάρχων τε καὶ Τυρσηνός, αἴθωνες λύκοι,
τῶν Ἡρακλείων ἐκγεγῶτες αἱμάτων.
ἔνθα τράπεζαν εἰδάτων πλήρη κιχών,
τὴν ὕστερον βρωθεῖσαν ἐξ ὀπαόνων,
μνήμην παλαιῶν λήψεται θεσπισμάτων.
κτίσει δὲ χώραν ἐν τόποις Βορειγόνων
ὑπὲρ Λακίου Δαυνίου τ' ᾠκισμένην,

1239 *παλιμπλανήτην Steph. πάλιν πλανήτην V* 1241 *πίσ' AC πίσσ' DE ἀγύλης A ἀγκύλης D* ἀ^{γ}γύλης *E θ'* om. *B* 1246 μ*^{υ}σῶν *A* (scripserat *μουσῶν*: μ*^{υ}σῶν *V*) 1248 *αἴθωνες λύκοι* om. *B* 1254 *Λακίου Δαυνίου Steph. Λατίνους Δαυνίους V τ'* om. *A* inseruit *A*[3]

(1239) πάλιν πλανώμενον δέξεται ἡ Τυρσηνία χώρα | (1240) ποταμὸς Τυρσηνίας | ῥεῦμα ἀναπέμπων τῶν ὑδάτων | (1241) Πῖσα καὶ Ἄγυλλα πόλεις Τυρσηνίας ἢ Ἰταλίας | οἱ πολλὰ θρέμματα ἔχοντες σύμφυτοι τόποι | (1242) Ὀδυσσέα φασὶ ἐν Ἰταλίᾳ συντυχεῖν Αἰνείᾳ καὶ ὅρκους ἀλλήλοις δοῦναι, ὥστε μήτε κακὸν ἀλλήλους δράσειν . . λέγει οὖν, ὡς διάφορος ὢν φίλον στρατὸν ἔχων συμβήσεται διὰ τὰς σπονδάς, ὅρκοις καὶ λιτανείαις πείσας ὡς ἂν δὴ φυγὰς ⟨ὤν⟩. νάνους δὲ τοὺς πλανήτας φασί. λιτανεύει οὖν μεταδοῦναι αὐτοῖς ἁλὸς καὶ γῆς. σὺν αὐτῷ δὲ δύο παῖδες Τηλέφου, Τάρχων καὶ Τυρσηνός, οἰκήσουσι τὴν Τυρσηνίαν | (1243) τοῖς ὅρκοις κατασχὼν | καὶ ταῖς ἐντεύξεσι τῶν παρακλήσεων | (1244) ὁ πλανήτης, ταῖς πλάναις πάντα τὸν βυθὸν ἐρευνήσας | (1245) γῆς τε καὶ θαλάσσης | σὺν τούτοις δὲ οἱ δύο ἀδελφοί, οἱ υἱοὶ Τηλέφου, ἀφ' οὗ ἡ χώρα Τυρσηνία | (1246) τοῦ Τηλέφου, βασιλέως Μυσῶν | οὗτινός ποτε ὁ Διόνυσος τὸ ξίφος | (1247) κάμψει, θραύσει. ὁ Διόνυσος. τὰ μέλη | συνδεσμήσας τοῖς λύγοις· ἔστιν δὲ εἶδος φυτοῦ ἁπαλοῦ | (1248) ὁ Τάρχων καὶ ὁ Τυρσηνὸς υἱοὶ Τηλέφου | (1249) ἐκ τῶν Ἡρακλείων γεγενημένοι αἱμάτων | (1250) ἐκεῖσε τράπεζαν | ἐδεσμάτων πλήρη καταλαβών | (1251) τὴν βρωθεῖσαν ὕστερον ἐκ τῶν ἀκολούθων | (1252) μνήμην παλαιῶν λάβῃ νόμων ἢ μαντευμάτων | (1253) χώραν δὲ κτίσει ἐν τόποις. ἔθνους Ἰταλίας | (1254) Λατῖνοι καὶ Δαύνιοι ἔθνη Ἰταλίας. ᾠκισμένην |

1240 *τυρσηνίας· ἀντὶ τοῦ θερμὰ ὕδατα ἔχων, ῥεῦμα — a* 1241 *πολυθρέμματοι BAf* 1242 *φασὶ* pro *φησὶ* recepi ex *s* post *δράσειν* lacunam indicavi ⟨*ὢν*⟩ recepi ex *s* *φασὶ* pro *φησὶ editor* 1249 *γεγενημένων B* 1252 *λήψεται a*

πύργους τριάκοντ᾽, ἐξαριθμήσας γονὰς
συὸς κελαινῆς, ἣν ἀπ᾽ Ἰδαίων λόφων
καὶ Δαρδανείων ἐκ τόπων ναυσθλώσεται,
ἰσηρίθμων θρέπτειραν ἐν τόκοις κάπρων·
ἧς καὶ πόλει δείκηλον ἀνθήσει μιᾷ
χαλκῷ τυπώσας καὶ τέκνων γλαγοτρόφων.
δείμας δὲ σηκὸν Μυνδίᾳ Παλληνίδι
πατρῷ᾽ ἀγάλματ᾽ ἐγκατοικιεῖ θεῶν,
ἃ δή, παρώσας καὶ δάμαρτα καὶ τέκνα
καὶ κτῆσιν ἄλλην ὀμπνίαν κειμηλίων,
σὺν τῷ γεραιῷ πατρὶ πρεσβειώσεται
πέπλοις περισχών, ἦμος αἰχμηταὶ κύνες,
τὰ πάντα πάτρας συλλαφύξαντες πάλῳ,
τούτῳ μόνῳ πόρωσιν αἵρεσιν δόμων
λαβεῖν ὃ χρῄζει κἀπενέγκασθαι δάνος.
τῷ καὶ παρ᾽ ἐχθροῖς εὐσεβέστατος κριθεὶς
τὴν πλεῖστον ὑμνηθεῖσαν ἐν χάρμαις πάτραν
ἐν ὀψιτέκνοις ὀλβίαν δωμήσεται,
τύρσιν μακεδνὰς ἀμφὶ Κιρκαίου νάπας

1255 *γονὰς* in *γοναῖς* mutavit *A*[2] 1258 *ἰσαρίθμων B* *ἰση[α]ρίθμων E* *ἐντόκοις κάπρου Π*? 1261 *μενδίᾳ E* 1265 *γηραίῳ C* *γε[η]ραίῳ E* *πρεσβιώσεται BCDE* 1269 *χρήζει BCD* 1271 *χάρ•μ[αις] C*[2] (accentus et *αις C*[2]) 1272 *δομήσεται AC* *δω[ο]μήσεται D* *δο[ω]μήσεται E* cf. *T*

(1255) πόλεις τριάκοντα, ἰσαρίθμους τοῖς παισὶ | (1256) τῆς τραχείας συός, ἥντινα ἀπὸ τῶν τῆς Ἴδης ἄκρων | (1257) καὶ ἐκ τῶν Δαρδάνου τόπων ἐπὶ νεὼς ἄξει | (1258) τὴν τροφὸν τῶν ἰσαρίθμων πόλεων τοῖς υἱοῖς Αἰνείου | τὴν πολύγονον | (1259) ἧστινος καὶ ἐν τῇ πόλει ἄγαλμα, εἰκόνισμα, εἴδωλον | ἀναθήσει, κατὰ συγκοπήν· τῇ μιᾷ (1260) χαλκουργήσας | καὶ τῶν ὑπὸ γάλακτος τρεφομένων, ὑπομαζίων τέκνων | (1261) οἰκοδομήσας δὲ ναόν. ἐπώνυμον Ἀθηνᾶς | (1262) τὰ πατρῷα ξόανα ἐγκατοικίσει τῶν θεῶν | (1263) ἅτινα δὴ παρωσάμενος, παρωθήσας, ἐάσας | καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα | (1264) καὶ τὴν λοιπὴν κτῆσιν | τὴν συντελοῦσαν πρὸς τὸ ζῆν, παρὰ τὸ πνέω, ἐξ οὗ πλουσίαν | (1265) σὺν τῷ πρεσβύτῃ πατρὶ τιμήσει | (1266) τοῖς ἱματίοις καλύψας, ἡνίκα οἱ ἀνδρεῖοι πολεμισταὶ | (1267) τὰ πάντα τῆς πατρίδος καταπιόντες τῷ κλήρῳ | (1268) τούτῳ μόνῳ δῶσιν | ἐκλογὴν οἴκων (1269) λαβεῖν ὅπερ θέλει | καὶ ἀπενέγκασθαι δωρεάν | (1270) διὸ καὶ παρὰ τοῖς ἐχθροῖς εὐλαβέστατος κριθεὶς | (1271) τὴν πολὺ ὑμνηθεῖσαν ἐν πολέμοις πατρίδα | (1272) ἐν τοῖς βραδυγενέσιν πλουσίαν κατασκευάσει | (1273) πόλιν περὶ τὰς μακρὰς | περὶ τοῦ ὄρους Ἰταλίας συμφύτους [μετὰ] τόπους. Κίρκαιον ὄρος τῆς Ἰταλίας, ἀπὸ τῆς Κίρκης, ὅπερ λέγεται πολλὰς ἔχειν βοτάνας φαρμάκων |

1262 *πρῶτα B* 1264 *παρὰ τὸ πν.* om. *Ba* 1268 *δώσουσιν A* *δώσειν Bf* 1271 leg. *εὐσεβέστατος* 1273 *μετὰ* om. *aAf*

Ἀργοῦς τε κλεινὸν ὅρμον Αἰήτην μέγαν
λίμνης τε Φούκης Μαρσιώτιδος ποτὰ
Τιτώνιόν τε χεῦμα, τοῦ κατὰ χθονὸς
δύνοντος εἰς ἄφαντα κευθμῶνος βάθη,
Ζωστηρίου τε κλιτύν, ἔνθα παρθένου
στυγνὸν Σιβύλλης ἐστὶν οἰκητήριον,
γρώνη βέρεθρον συγκατηρεφὲς στέγῃ.]

* * *

Τοσαῦτα μὲν δύστλητα πείσονται κακὰ
οἱ τὴν ἐμὴν μέλλοντες ᾀστώσειν πάτραν·
τί γὰρ ταλαίνῃ μητρὶ τῇ Προμηθέως
ξυνὸν πέφυκε καὶ τροφῷ Σαρπηδόνος,
ἃς πόντος Ἕλλης καὶ πέτραι Συμπληγάδες

1275 *Φόρκης V* *Μαρσιώνιδος V* 1277 om. *B* 1280 *γρώνῃ editor* *γρώνῳ V γρόνα B* *βερέθρῳ V* *στέγης V* lacunam indicavi 1282 *ᾀστώσειν editor* *αἰστώσειν ABCDP* *αἰστῶσαι* (superscr. *ειν*) *E* *αἰστῶσαι p* 1283 *τῇ μητρὶ προμηθέως C* 1285—1290 omissos in inferiore margine addidit *E*²

(1274) Αἰήτης ὅρμος καὶ λιμὴν ἐν Κιρκαίῳ, ὅπου καὶ ἡ Ἀργὼ λέγεται προσωρμηκέναι καὶ ἐκαθάρθησαν Ἰάσων καὶ Μήδεια ὑπὸ τῆς Κίρκης. ἔστιν δὲ ταῦτα καὶ παρὰ Ἀπολλωνίῳ τῷ Ῥοδίῳ ἐν τοῖς Ἀργοναυτικοῖς. Αἰήτης δὲ ἐκλήθη διὰ τὴν Κίρκην ἢ ὅτι ἐκεῖ ἔπλευσεν ἡ Ἀργὼ ἢ ὅτι ἐκεῖ ἐν τῷ Αἰήτῃ ποταμῷ ἐκαθάρθησαν ὁ Ἰάσων καὶ ἡ Μήδεια ἀπὸ τοῦ φόνου τοῦ Ἀψύρτου. Κίρκαιον δέ, ἀπὸ τῆς Κίρκης | (1275) Φόρκη λίμνη ἀπέχουσα Ῥώμης σταδίους φ΄. Μαρσοὶ δὲ Ἰταλικὸν ἔθνος περιοικοῦν τὴν λίμνην | τὴν πλησίον τῶν Μαρσῶν· οἱ δὲ Μαρσοὶ ἔθνος Ἰταλίας | (1276) ποταμὸς Ἰταλίας, τὸ ῥεῦμα | τοῦ κατὰ γῆς· οὐ γὰρ εἰς θάλασσαν ῥεῖ | (1277) (1278) ἐπώνυμον Ἀπόλλωνος, εἰς ἐξοχὴν ὄρους | ὅπου τῆς παρθένου (1279) οἴκημα ὑπάρχει· φασὶν οὖν, ὅτι ἐνταῦθα διῆγεν ἡ Σίβυλλα | ἡ Λητὼ εἰς Ἀθήνας παρεγένετο βουλομένη ἀποτεκεῖν τὸν Ἀπόλλωνα κἀκεῖσε ἔλυσε τὴν ζώνην, δι' ὃ καὶ Ζωστὴρ ὁ τόπος ὠνόμασται· καὶ ἐν αὐτῇ Ζωστηρίου Ἀπόλλωνός ἐστιν ἱερόν. καὶ παρὰ Κυμαίοις δὲ Ζωστηρίου Ἀπόλλωνός ἐστιν ἱερόν, ἐν ᾧ ταφῆναί φασι τὴν Σίβυλλαν Κυμαίαν οὖσαν, ἣν Ἀπόλλωνός φασιν ἀδελφὴν διὰ τῶν προφωνημάτων. ἔστι γὰρ καὶ ἄλλη Ἐρυθραία καὶ τρίτη Σαρδιανή | (1280) γρώνῳ τῷ κοίλῳ, βερέθρῳ δὲ τῷ σπηλαίῳ | τὸ τῆς στέγης συγκατηρεφὲς καὶ κατάστεγον |

(1281) Τοσαῦτα μὲν ἀκαρτέρητα κακὰ πάθωσιν | (1282) τὴν Ἀσίαν λέγει· Ἰαπετοῦ γὰρ καὶ Ἀσίας Προμηθεύς, ἀπὸ δὲ ταύτης τὴν χώραν | ἀφανίσειν πατρίδα | (1283) τί γὰρ τῇ ταλαιπώρῳ, τῇ Ἀσίᾳ λέγει, τῇ τοῦ Προμηθέως | (1284) τῇ Εὐρώπῃ· ἐκ γὰρ Διὸς καὶ Εὐρώπης Σαρπηδών, Μίνως, Ῥαδάμανθυς· ἐκ δὲ ταύτης ἡ χώρα τὸ ὄνομα εἴληφεν | τῇ τοῦ Σαρπηδόνος μητρὶ καὶ τροφῷ Εὐρώπῃ | (1285) ἅστινας ὁ Ἑλλήσποντος | καὶ αἱ Συμπληγάδες πέτραι αἱ περὶ τὸ Βυζάντιον, ἃς καλεῖ Ὅμηρος Πλαγκτάς |

1275 φ΄ pro θ΄ scripsi ex *s* 1277 *δύνοντος εἰς τὰ ἄφαντα μυχοῦ βάθη a* — *ἀφ. β. κευθμῶνος f* *ἀφανῆ β. κευθμ. A* 1278 | *ἔνθα παρθένου οἴκημα ὑπάρχει: ὅπου τῆς παρθένου B* 1279 *σιβύλλης στυγνὸν οἰκ. ὑπ. Af* *ἀδελφὴν* (e *T*) pro *ἑαυτὴν Bachm.* 1282 *τὴν Ἀσίαν — χώραν* pertinent ad v. *1283* *ἀφανίσαι A* 1284 *εὐρώπῃ* pro *καὶ Εὐρώπης Ba* *Σαρπηδών* om. *Ba*

καὶ Σαλμυδησὸς καὶ κακόξενος κλύδων,
Σκύθαισι γείτων, καρτεροῖς εἴργει πάγοις
λίμνην τε τέμνων Τάναϊς ἀκραιφνὴς μέσην
ῥείθροις ὁρίζει, προσφιλεστάτην βροτοῖς
χίμετλα Μαιώταισι θρηνοῦσιν ποδῶν.
Ὄλοιντο ναῦται πρῶτα Καρνῖται κύνες,
οἳ τὴν βοῶπιν ταυροπάρθενον κόρην
Λέρνης ἀνηρείψαντο, φορτηγοὶ λύκοι,
πλᾶτιν πορεῦσαι κῆρα Μεμφίτῃ πρόμῳ,
ἔχθρας δὲ πυρσὸν ἦραν ἠπείροις διπλαῖς.
αὖθις γὰρ ὕβριν τὴν βαρεῖαν ἁρπαγῆς
Κουρῆτες ἀντίποινον Ἰδαῖοι κάπροι
ζητοῦντες αἰχμάλωτον ἤμπρευσαν πόριν
ἐν ταυρομόρφῳ τράμπιδος τυπώματι
Σαραπτίαν Δικταῖον εἰς ἀνάκτορον
δάμαρτα Κρήτης Ἀστέρῳ στρατηλάτῃ.
Οὐδ᾽ οἵ γ᾽ ἀπηρκέσθησαν ἀντ᾽ ἴσων ἴσα
λαβόντες, ἀλλὰ κλῶπα σὺν Τεύκρῳ στρατὸν

1286 *σαλμυδισσὸς CD σαλμυδησσὸς BE* *κακόξενος* (ει *suprascr.*) *C κακόξεινος ADE* 1290 *θρηνοῦσιν Bachm. θρηνοῦσι V* 1294 *περεῦσαι D περῶσαι* (ω in litura) *E* 1298 *πόρριν TCDE* 1300 *σαραπίαν C σαρεπτίαν AB* 1301 *Ἀστέρῳ στρατηλάτῃ* om. *B* *Ἀστερίῳ* coniecit *Meurs.* 1303 *στρατῷ B*

(1286) καὶ ποταμὸς Σκυθίας καὶ ὁ Εὔξεινος πόντος | (1287) ὁ τῶν Σκυθῶν γείτων | [καὶ] ἰσχυροῖς ἐπέχει ἢ κωλύει πάγοις | (1288) τὴν λίμνην τέμνων ὁ Τάναϊς, ποταμὸς Σκυθίας | μέσην ὁ καθαρός, οἷον ἀκεραιοφανής | (1289) ῥεύμασι διορίζει | ἀγαπητικὴν ἀνθρώποις | (1290) τὰ τῶν ποδῶν τραύματα καὶ ἀποκαύματα τοῖς Μαιώταις διὰ τὴν ψύξιν | θρηνοῦσι τὰ τῶν ποδῶν |

Maneret, nisi melius res aliis feliciores vias ingressis processisset. *ἐπικλήσεων* quicquid est in his scholiis, esse Theonis in nominato ab illis libro (sect. V. VII) GWentzel effecit, VvWilamowitz vero glossas omnes, quae cum scholiis Apollonii, Nicandri, Theocriti, Callimachi concinerent, praesertim cum duorum triumve ex his glossae cum Alexandra conspirarent, eidem esse restituendas docuit. Hoc argumentum, quod ex comparatione scholiorum ac lexicographorum petitur, deinceps dicendum erit, quoad extendatur: interim securus universas historias rerumque explicationes, quarum eadem est condicio, iuxta in eum transcribas. Adice his, quae Pindari scholiorum consensu (p. XXVIII saep.) ei acquiruntur: iam incertum dicas an rectius quaeratur, quid abiudicandum ei ex hoc congestu sit

1) Nihil huc ex iis locis redundat, quibus Theo discrepat a PS et codd. Alexandrae *ἁρμοῖ* 106 P: sch. Theocr. IV 51 Ap. A 972 EM 144_{32} *ἀκμήνου* (s) codd. Al. 672: *ἀκμηνός ὡς ἀγαθός* — aliter atque Aristarchus Lehrs Ar. 311 — EM 49_{14} cf. *κελρύλος* p. LV et *δροίτη* PS 1108: sch. Theon. Od. in EM 288_3.

quam quid adiudicetur. Sed ne intra haec quidem consistendum est rationem perpendenti, quae commenta obscuritate huius poematis, quale non alterum invenitur, quadamtenus enarranti praescribebatur. Satis, credo, morarum superque Lycophro ipse nexuerat: lecturos igitur ille parans aut commodam aperiebat viam aut sibi interpretabatur. Itaque non ultra necessaria[1]) excurrere aut supervacuis immorari licuit ac ne tum quidem, cum exierunt haec, eruditionis varietate, auctorum abundantia supra id, quod res exigebat, floruisse credibile est. Haec vero commentarii natura etiamnum dispicitur. Impeditam facit lectionem verborum turba numquam audita, maximam partem vix usquam in scriptis deprehensa: e Didymi thesauris non ut nunc fere truncatas, sed concisas tamen eum rationes ab ipso fortasse doctorum poetarum locis subinde firmatas apposuisse docet scholiastarum ac lexicorum cum his consensus. Totis versibus secreta deorum nomina continuantur: summatim, quarum regionum qui dii essent, ex *ἐπικλήσεων θεῶν* libello eum tradidisse supra cognovimus. Obscure ac velut procul ostenduntur res fabulaeque: manifestum faciunt loci adscripti non infra se eum duxisse e parata illa ac paene publica materia, quam superiora saecula in antiquos poetas explanandos congesserant, ex commodo, quae apte et ad rem apposite dicta viderentur, inter sua tamquam sua recipere[2]). Minime ergo

1) Non ad vivum hoc resecandum esse vix est quod moneam. Nam prae nostris satis ampla fuisse haec commentaria ex iis efficitur, quae in superioribus ei vindicavi: p. XXXIV *Κυτιναῖος* et *Κυτινιώτης* discernit et, si recte conieci, Lycophronem exagitat discrimen illud migrantem, ib. de rebus ab Aenea in ora Thraciae gestis agit, p. XL fortasse Scyllacii priscum nomen testimonio Eudoxi firmat, p. XLI et quid in Colchorum coloniis enarrandis Lycophro erraverit (cf. 318_5) et qui veri locorum situs sint, plenius persequitur cf. $252_{17.19}$ 298_{19} n. Quam curiose vero per omnes rationes ierit, quam sollicite perpenderit, caute iudicarit, optime sch. 129_{30} declaratur, quod quamvis contractum artem eius si ullum refert (cf. 179_{18} 376_{22} 378_{11}). Omnino non nimium ei tribuo, cum suspiciosum eum prope unumquodque verbum insidiosi simul ac fallacis poetae versasse, uniuscuiusque historiae angulos pervestigasse dico.

2) Replices, quae p. XLIX n. 3, L et inprimis 107_1 disputavi. Etiam magnae parti eorum scholiorum, quibus breviter situs urbium, fluviorum, montium indicantur ut 188_{26}, anagraphen aliquam subesse verisimile est. Illa, quae supra dixi, non eo labefactantur, quod nonnullae fabulae

peculiaris cuiusdam doctrinae famam ut Apollonii scholiis hac scriptura eum affectasse patet. Sed habebat haec devia provincia, qua homo sui arbitrii (cf. supr. LV LVI n.) et cuius ingenio praesens scientia assiduo labore quaesita suppeditaret quodam modo provocaretur. Juvit videlicet eum iis artibus, quae sobrio grammatico familiares sunt, intemptati poematis[1]) tenebras discutere, artificia solvere, deprehendere quae designasset poeta, passim quos auctores ille referret investigare susceptoque muneri ita satisfecit, ut curae simul sollertiaeque testimonium emeruerit. Clarius sane hae virtutes elucerent, nisi difficillimi cuiusque loci scholia recentiorum segnities ut inobsequentia breviantibus maxime vexasset. Exempla praebent, si exemplis in re manifesta opus est, scholia 1021, 1027, quorum alterum prope ad sanitatem — quid enim ad sensum desideratur? — coniectura revocare, alterum aliquatenus saltem Stephani beneficio delineare contigit (p. XLI): quotiens vero, ubi plurimum interest huius nosse iudicium, aut inania verba dant scholia consultanti aut tamquam in apertis obticent. Ac tamen, quamvis illa sint attenuata, intervulsa, aliorum ineptiis depravata, ad Theonis lucernam Alexandram Lycophronis etiamnunc legi intellegenti in hac re dubium esse nequit.

Restat officii iucundissima pars, ut iis gratias agam, qui in hac re me adiuverunt. E quibus Regiae Academiae non solum eo nomine, quod liberalitate eius ad finem susceptum opus perducere licuit, sed etiam eo mihi gratia habenda est, quod magna sua commendatione otium mihi et congerendi has copias et digerendi paravit. Nec minus Regio Ministerio Artium Litterarumque gratiae debeo, quippe quod publici muneris in tempus vacationem petenti semel iterumque benignissime praebuerit. Collegioque, quod altiores Rhenanae provinciae disciplinas moderatur, ac JNelson scholarchae summas gratias ago, cuius volun-

---

utrorumque scholiorum (cf. locos ex Apollodori bibliotheca adscriptos) ad idem summarium redire videntur.

1) Non primum e grammaticis legisse Theonem sua sponte apparet: quodsi adnotatum hic illic unum alterumque exemplum nomine ut erat consentaneum carens in opere ei praesto erat, id quod minime veri dissimile est, iam in huius scholiis *τινὲς* sim. inciderunt.

tas in nulla re mihi umquam defuit. Plurimum vero debeo VvWilamowitz-Moellendorff, qui per omnes annos quos etsi non contexta cura in conficiendo hoc libro insumpsi tanta humanitate desideria rogantis explevit et praevenit, ut omnino eius voluntate ac consilio factum esse ut exeat gratissimo animo profitear. Eximia liberalitate RReitzenstein facultatem mihi praebuit, ut e Genuini Etymologici exemplis quicquid ad antiqua scholia pertineret excerpere possem. CRobert quantopere me obligaverit eo, quod ad exemplum Vaticani codicis 1307 ab ipso confectum scholia Marciani 476 excutere mihi licuit, supra demonstravi, BNiese praeter alia plurima meum in usum, quae in Coisliniani codicis 345 marginibus et inter lineas adnotata erant, descripsit, AMau, quotienscunque dubitationem quid afferebat, de Romani et Neapolitani codicis scriptura certiorem me fecit, RFoerster denique et VBoissevain alia et alia rogati eodem semper studio praesto mihi esse non desierunt. Vt omnibus his vv. dd. ita bibliothecarum praefectis Neapolitanae, Venetae, Parisinae, inprimis vero Palatinae et FEhrle, Vaticanae bibliothecae praefecto, in exitu operis pro officiis in me collatis debitas gratias ago.

Siglorum tabula.

P antiquior } paraphrasis
p recentior }

*his additum meliora, † corrupta praeberi significat

S scholia

- *s* Ven. 476 Nicetae
  - omisi *p* 971—1056 particulatim his scholiis insertam
- s^2 alter codex Nicetae
- s^3 Neap. II D 4
- s^4, s^5 codices Tzetzae
- s^6 codex diorthotae commentarii Tzetziani
- *V* Vat. 1307

T Tzetza

- (*I*) classis (Isaaci)
  - *a* Par. 2723
- *II* classis (Johannis)
  - * *notantur, quae ex hac classe recepi
  - *b* Vat. 1306
  - *c*
    - γ_1 Ambr. 222
    - γ_2 Pal. 18
  - *d* Pal. 264 et Seldenianus Potteri (diorthota Tzetae)

Eg Etymologicum Genuinum (AB Reitz.)

- *dexterior* margo est Tzetzae
- * modo ex auctoris verbis Tzetzam, modo hinc illum esse corrigendum, modo utrumque laborare (v. 245_{23}) monet
- × 1) scholiis aliunde (e Steph. all.) excerptis appositum Lycophronis nomen aut ipsa Lycophronis verba (× *Δ*) adiecta esse significat 2) in notis ac prolegomenis correcturas distinguit
- † corruptelas, †T commenta Tzetzae indicat.

Addenda et Corrigenda.

Graviter mihi laboranti in novissimis scholiorum plagulis et in Prolegomenis corrigendis R. Hoyer sodalis adfuit.

36_{28} l. *Ἄιδην*
46_3 cf. proll. XXVIII extr.
ib.$_{18}$ sch. Call. III 224
48_{20} *γύψ* add. Hes. *τόργος*
49_8 cf. 185_{29} Ptolemaei Chenni?
57_8 n. 'huc transtuli' add. 'cum T'
59_{30} 61_{10} cf. proll. LII
68_{18} *αὐγάσαι· βλέψαι ὡς καὶ Ἡσίοδος*

(E 47) marg. Coisl. 345
ib.$_{29}$ sch. B K 474 (p. 441$_{12.\ 30}$ D)
71$_{7}$ l. *μυθῶδες*
74$_{12}$ d. m. del.?
76$_{25}$ cf. sch. Verg. XI 543
95$_{4}$ Ap. ep. 6$_{26}$ (et *πῦρ* recte ab Herw. adiectum et temere a Wagn. locum attemptatum esse apparet)
96$_{27}$ d. m. del. *Isthm. V 41*
99$_{17}$ n. an *πρόωρος* (Hes.)? add. Hipp. *π. ἑπτ.* 8
101$_{8}$ d. m. (*Cyr. lex.*) del.
107$_{9}$ n. l. *εὐάρχῳ*
125$_{13}$ n. del.×
132$_{5}$ cf. 270$_{18}$ *ναῷ* (*βωμοῖς* Ap.)
140$_{6}$ *τὸν ἀέρα* cf. 17$_{7}$
148$_{9}$ Hes. *σείριος*
152$_{20}$ d. m. *pro×. Et rectius lectionem *a* recepissem
153$_{24}$ l. *δὲ ἔθνος* ss^{3}
158 n. pro 19 *alterum* rep. 20
161$_{21}$ *Ἀργείους* ss^{3}
162$_{19}$ l. *φορίων*
163$_{24}$ l. *νης*
199$_{35}$ d. m. l. *supr.* $_{18}$
175$_{32}$ n. *Οἴτης* |
179$_{6}$^{b} cf. 372$_{7}$
196$_{n}$ lin. 2 l. *δὲ om.*
200$_{26}$ *περὶ* piget me nunc in n. non inseruisse × *Πεισάνδρῳ*?
203$_{17}$ n. l. Kink.
214$_{22}$ **Γραῖαν-Βοιωτίας**
217$_{4}$^{b} *λεοντῆν*, *διπλῆν* sim. in S quoque est sollemnis scriptura. Aspiratio praevalet in *ἅρμενον*. Vnum norunt *αὑτοῦ* pro *ἑαυτοῦ* S et T Moneo haec, ne pro sphalmatis habeantur.
218$_{3}$ *ἀς-ἐστεφανώθησαν* EM 694$_{16}$
222$_{19}$ sch. *μ* 39
223$_{29}$ d. m. *Eg
234$_{31}$ add. T
235$_{20}$ sch. Eur. Or. 1378
240$_{13}$ l. *Κυρηναίοις*
244$_{14}$ n. l. *γ* 2 *m*^{2}
255$_{8}$ *ἀπῆρε καὶ ἐλθὼν εἰς τ. Γ. ᾤκ.* v. Wil.-M. Ph. Unters. VII 189
264$_{27}$ l. *καλούμενοι*
272$_{16}$ l. *ἀπολιθοῦν*. l. 18 non est T, sed *s*^{4}
274$_{30}$ l. *φώκαις*
288$_{3}$ l. *γενέσθαι*
297$_{2}$ l. 58$_{4}$
305$_{10}$ cf. sch. Verg. V 73. 300
312$_{5}$ del. ss^{3}
314$_{25}$ add. ss^{3}
318$_{4}$ add. T
324$_{3}$ *ἐργάζοιτο* | ×*ἁγνίζοιτο*? Illud ex Al. 619 ductum est
324 n. 10 ante *Σάλαγγοι* ins. 11
332$_{17}$^{b} l. *δες*
340$_{21}$ l. *νυκτιπόλον*
342$_{15}$ Hec. 249 in l. m. transferas
352$_{1}$^{b} l. *παίδων*
357$_{19}$ l. *Αἰσχύλος*
363$_{25}$ l. *Ἑλλήσποντον*
364$_{11}$ *Δράκοντα*? cf. 23$_{10}$
368$_{26}$ cf. Reitz. Gesch. d. gr. Ett. 320$_{22}$
372$_{8}$ add. T
382$_{4}$ *δίζεο, δίζεό σοι μάλα δὴ μέγαν ἄνδρ' ἀπ' Ἀθηνῶν· ἢ ἐς Μίλητόν σε κατάξω πήματα Καρσίν* v. Wil.-M. Her. I^{1} 58 n.
395$_{23}$ *μάτην λαλεῖ* | *ταῦτα φθέγγεται* s^{3}. non a diorthota s^{3}s^{6} *φθέγγεται* illatum, sed in archetypo alterius classis extitisse sero e 6$_{1}$ intellexi: huic igitur cedat *λαλεῖ*.
396$_{1}$ l. *σειρῆνας*
proll. VII Palatini codicis numerus est 18.
ib. XV *Δωδεκαστηρίδες* potius diductis litteris signandae erant.

Index Scriptorum (S).

ΕΙΣ ΤΟΝ ΛΥΚΟΦΡΟΝΑ ΣΧΟΛΙΑ ΙΣΑΑΚΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ.

ἡ βίβλος τελέθουσα Λυκόφρονος ἀσματοκόμπου
ἦν ἀλαὸς προπάροιθεν ἀδερκέα δέργματ' ἔχουσα·
νῦν δέ με δορκαλέην Ἑρμείῃ θήκατο τέχνῃ
Τζέτζης Ἰσαάκιος ἐύστροφα πείσματα λύσας.

**τοῖς* τῶν ποιητικῶν βίβλων ἄρχεσθαι μέλλουσι δέον εἰδέναι πρῶτον τὰς τῶν ποιητῶν διαφοράς, εἶθ' οὕτω ταῖς βίβλοις αὐτῶν εἰσβάλλειν, ἵν' εἰδοῖεν, ὁποίου εἴδους τῶν ποιητῶν μετέρχονται βίβλους. τὸ ποιητὴς γὰρ ἀπροσδιορίστως λεγόμενον γενικόν ἐστιν ὁμώνυμον ὄνομα εἰς εἴδη διαιρούμενον πλείονα, εἰς τὸν κατ' ἐξοχὴν καὶ ἀπροσδιορίστως λεγόμενον ποιητήν, εἰς λυρικὸν *ποιητήν*, εἰς διθυραμβικόν, εἰς ἰαμβογράφον, τραγικόν, σατυρικόν, κωμικόν, εἰς ἐλεγειογράφον, εἰς ἐπιγραμματογράφον τὸν καὶ ἀναθεματικόν, εἰς ὑμνογράφον, εἰς ἀσματογράφον τὸν καὶ ἀοιδόν, εἰς ἐπιθαλαμιογράφον, εἰς μονῳδὸν καὶ εἰς μυρία ἕτερα εἴδη, ἅπερ μακρόν ἐστι λέγειν καὶ ὀχληρὸν καίπερ ἀκριβῶς ἐπιστάμενον.*

*λεκτέον δέ μοι τὰ τῶν ῥηθέντων ποιητῶν γνωρίσματα καὶ χαρακτηρίσματα. τῶν *μὲν* οὖν ἀπροσδιορίστως καὶ κατ' ἐξοχὴν ποιητῶν *καλουμένων* τέσσαρα *ταῦτά* εἰσι τὰ γνωρίσματα· μέτρον τὸ ἡρωικόν, μῦθος ἀλληγορικός, ἱστορία παλαιὰ καὶ ποιὰ λέξις, ὧν χωρὶς ἐποποιοὶ λέγονται. γεγόνασι δὲ ὀνομαστοὶ ποιηταὶ πέντε· Ὅμηρος, Ἡσίοδος, Πανύασις,*

τοῖς —: de fonte huius prologi v. O. Kroehnert, Canonesne poetarum, scriptorum, artificum per antiquitatem fuerunt? Regim. 1897 G. Kaibel, Die Proll. *Περὶ κωμῳδίας*. Berl. 1898.

---

1 *φερωνύμως λέλογχε τὴν κλῆσιν μόνος σκοτεινὰ φράζων ἢ φρονῶν ὁ λυκόφρων* ante *εἰς* γ1   2 *γραμματικοῦ* om. γ2   3 *βίβλος μὲν* Π   7 *κατάρχεσθαι* Π

Ἀντίμαχος, Πείσανδρος, νέοι δὲ ὅσα τε φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ. καὶ ταῦτα μὲν τὰ γνωρίσματα τῶν καλουμένων κατ' ἐξοχὴν ποιητῶν, λυρικῶν δὲ γνωρίσματα τὸ πρὸς λύραν τὰ τούτων ᾄδεσθαι μέλη καὶ χορὸς ἑστὼς κυκλικῶς ἄνδρας ἔχων πεντήκοντα, οἵπερ καὶ δῶρον ταῦρον ἐλάμβανον. καὶ διθυραμβικοῖς δὲ τοῦτο κοινόν. οἱ διθυραμβικοὶ δὲ τῶν λυρικῶν εἶχόν τι πλέον τὸ πρὸς τὸν Διόνυσον πολυστρόφους πλέκειν τοὺς ὕμνους καὶ | τρίποδας ἐλάμβανον | διὸ καὶ διθύ- 25m
ραμβοι ἀπὸ τοῦ Διονύσου ἐλέγοντο τοῦ διὰ δύο θυρῶν βάντος, τῆς τε γαστρὸς τῆς Σεμέλης καὶ τοῦ μηροῦ τοῦ Διός. λυρικοὶ δὲ ὀνομαστοὶ δέκα· Στησίχορος, Βακχυλίδης, Ἴβυκος, Ἀνακρέων, Πίνδαρος, Σιμωνίδης, Ἀλκμάν, Ἀλκαῖος, Σαπφὼ καὶ Κόριννα. διθυραμβικὸς δὲ διάσημος ποιητὴς Φιλόξενος ὁ Κυθήριος. διθύραμβον δὲ ἤτοι κυκλικὸν χορὸν ἐν Κορίνθῳ πρῶτον ἔστησεν Ἀρίων ὁ Μηθυμναῖος, δεύτερον Λάσσος Χαυρίνου Ἑρμιονεύς. ἰαμβογράφων ποιητῶν γνώρισμα λοιδορία δι' ἰάμβων, καταχρηστικῶς δὲ καὶ δι' ἑτέρου οἷου δή τινος μέτρου. ἀριπρεπεῖς δὲ ἰαμβογράφοι Ἀνανίας, Ἀρχίλοχος, Ἱππῶναξ. τραγικῶν, σατυρικῶν καὶ κωμικῶν ποιητῶν κοινὸν μὲν τὸ τετραγώνως ἔχειν ἱστάμενον τὸν χορὸν καὶ τὸ λαμβάνειν τράγον ἢ τρύγα τουτέστιν οἶνον νέον καὶ μιμητικῶς ἐν τῇ θυμέλῃ τὰ τούτων δράματα λέγεσθαί τε καὶ δρᾶσθαι, διάφορον δὲ αὐτοῖς τὸ τὴν κωμῳδίαν γέλωτα ἔχειν καὶ σκώμματα καὶ κδ' χορευτάς, τὴν δὲ τραγῳδίαν καὶ τοὺς σατύρους ἐπίσης μὲν ἔχειν χορευτὰς ις', διαφέρειν δὲ πρὸς ἀλλήλους, ὅτι ἡ μὲν τραγῳδία θρήνους μόνον ἔχει καὶ οἰμωγάς, ἡ δὲ σατυρικὴ ποίησις συγκιρνᾷ ταῖς ὀλοφύρσεσιν ἱλαρότητα καὶ ἀπὸ δακρύων εἰς χαρὰν καταντᾷ. διαφέρει δὲ κατὰ τοῦτο καὶ κωμῳδία καὶ τραγῳδία, ὅτι ἡ μὲν τραγῳδία λύει τὸν βίον, ἡ δὲ κωμῳδία συνίστησι. καὶ κωμῳδία δὲ ἐκλήθη ἢ ὅτι κατὰ τὸν καιρὸν τοῦ κώματος ἤτοι τοῦ ὕπνου εὑρέθη ἢ ὅτι ἐν ταῖς κώμαις τουτέστι ταῖς στενωπαῖς ἢ ὅτι ἐν ταῖς κώμαις τουτέστι τοῖς μεγίστοις χωρίοις ἢ ὅτι ἐν ταῖς κώμαις καὶ τόποις τοῦ Διονύσου εὑρέθη. ἡ δὲ τραγῳδία

---

16 χαβρίνου *b* χωρίνου γ2 30 καὶ add. *a* m² 32 στενωποῖς *b* m² γ2 cf. Cram. AO III 335₇ 33 τοῖς γ1 34 κώμοις *b* γ1 cf. Cram. ib.₁₆ πότοις *b* γ1 cf. ib.₁₇ πόταις int. lin. γ2

ἀπὸ τοῦ τράγου ἢ τρύγα λαμβάνειν τουτέστι *νέον* οἶνον ἢ ἀπὸ τοῦ τρύγα χρίεσθαι τὰ πρόσωπα αὐτῶν κατ᾽ ἀρχάς· ἢ ὅτι τετραγώνως ἵσταντο, τετραγωδία ἐκλήθη ἢ ἀπὸ τοῦ τραχείας ᾠδὰς ἔχειν τοὺς θρήνους τραχωδία καὶ τραγωδία. ἡ σατυρικὴ δὲ ἀπὸ τῶν σατύρων ἐκλήθη τῶν εὑρόντων αὐτὴν ἤτοι γεωργῶν καὶ εὐτελῶν ἀνθρώπων. τραγωδοὶ δὲ ποιηταὶ Αἰσχύλος, Σοφοκλῆς, Εὐριπίδης, Ἀρίων, Θέσπις, Φρύνιχος, Ἴων, Ἀχαιὸς καὶ ἕτεροι νέοι μυρίοι. κωμωδοὶ πραττόμενοί εἰσιν οὗτοι οἷοι Ἀριστοφάνης, Κρατῖνος, Πλάτων, Εὔπολις, Φερεκράτης καὶ ἕτεροι, νέοι Μένανδρος, Φιλήμων, Φιλιστίων καὶ πλῆθος πολύ, σατυρικὸς δὲ Πρατίνας. καὶ ταῦτα μὲν περὶ τραγικῶν, σατυρικῶν καὶ κωμικῶν ποιητῶν, ἐλεγειογράφων δὲ γνωρίσματα ποιητῶν τὸ πρὸς τοὺς τεθνηκότας οἴκτους συγγεγραφέναι καὶ ὀλοφύρσεις ἐν ἐλεγείῳ τῷ μέτρῳ κυρίως, καταχρηστικῶς δὲ καὶ *ἐν* ἑτέρῳ. ἐλεγείων δὲ ποιηταὶ Καλλίμαχος, Μίμνερμος, Φιλητᾶς. ἐπιγραμματογράφων δὲ γνωρίσματα τῶν καὶ ἀναθεματικῶν τὸ γεγραφέναι εἰς ἀνδριάντας ἐπιγράμματα καὶ εἰς τὰ ἐν ναοῖς ἀναθήματα καὶ εἰς ἕτερα τοιαῦτά τινα, ὡς Ὅμηρος ἐποίησεν ἐν τῇ δοθείσῃ τούτῳ φιάλῃ παρὰ τῶν Μήδου υἱῶν, ἣν ἀνέθετο τῷ ἐν Δελφοῖς Ἀπόλλωνι ἐπιγράψας οὕτως Φοῖβε ἄναξ, δῶρόν τοι ἑλὼν ὁ Ὅμηρος ἔδωκα ᾗσιν ἐπ᾽ εὐφροσύναις, σὺ δέ μοι κλέος ἐσθλὸν ὀπάζοις (Cert. Hes. 260 R). ἐπιγραμματογράφοι ποιηταὶ Σιμωνίδης ὁ παλαιός, οὗ Ἡρόδοτος μέμνηται, Ἀλκαῖος ὁ νέος, ὃς ἦν ἐπὶ *τοῦ* Οὐεσπασιανοῦ τοῦ Ῥωμαίου καὶ Τίτου, Ἀθήναιος, Πρόκλος, Παλλαδᾶς, Ἀγαθίας καὶ ἕτεροι μυρίοι. ὑμνογράφοι ποιηταὶ οἱ εἰς θεοὺς γράφοντες ὕμνους ὥσπερ ὁ παλαιὸς ἐκεῖνος Ὀρφεύς, Ὅμηρος, Ἡσίοδος, Ἀσκληπιάδης καὶ ἕτεροι. γράφει δὲ ὁ Ὀρφεὺς χωρὶς τῶν ἀστρολογικῶν καὶ ἐπωδικῶν καὶ μαγικῶν καὶ τῶν ἑτέρων καὶ ὕμνους εἰς Δία καὶ τοὺς λοιποὺς οὕτως Ζεὺς πρῶτος γένετο, Ζεὺς ὕστατος ἀργικέραυνος, Ζεὺς κεφαλή, Ζεὺς μέσα, Διὸς δ᾽ ἐκ πάντα τέτυκται (Orph. fr. 46). καὶ Ὅμηρος μνήσομαι

---

2 τρυγὶ II cf. Cram. AO II 335,20 χρίσασθαι II ib. 20 τούτω χρυσῆ γ1 ×μίδου γ1 ἔθεντο a 22 τι a γ2 m¹ ἐπιφροσύναις II 23 ὀπάζεις a 32 ὕπατος a 33 μέσσα II

οὐδὲ λάθωμαι Ἀπόλλωνος ἑκάτοιο (h. Ap. II 1). *καὶ οἱ λοιποὶ ὁμοίως, ἵνα μὴ μακρολογῶ· οὐ γὰρ ἀγνοῶ τὰ τούτων καὶ ἑτέρων πλειόνων. ἀσματογράφων δὲ τῶν καὶ ἀοιδῶν γνωρίσματα τὸ ᾄσματα καὶ ᾠδὰς γράφειν πρὸς μουσικὴν καὶ φόρμιγγα καὶ βάρβιτον καὶ κιθάραν καὶ πᾶν ὄργανον μουσικὸν ᾀδόμενον, οἷοίπερ ἦσαν ποιηταί, ὡς ὁ Φαληρεὺς Δημήτριος γράφει, Αὐτομήδης καὶ Δημόδοκος καὶ Λαῖρις οἱ Κερκυραῖοι καὶ ὁ Ἰθακήσιος Φήμιος καὶ οἱ λοιποί, *οὓς ὁ Φαληρεὺς γράφει*· οὐδὲ γὰρ ἀγνοῶ αὐτός. ἐπιθαλαμιογράφοι δὲ ποιηταί, ὅσοι πρὸς τοὺς νυμφίους ἐν γάμοις ἐγκώμια ἔγραφον, οἷος ἦν ὁ Ἀγαμήστωρ ὁ Φαρσάλιος καὶ ἕτεροι καὶ Ἡσίοδος αὐτὸς γράψας ἐπιθαλάμιον εἰς Πηλέα καὶ Θέτιν τρὶς μάκαρ, Αἰακίδη, *καὶ* τετράκις, *ὄλβιε* Πηλεῦ, ὃς τοῖσδ' ἐν μεγάροις ἱερὸν λέχος εἰσαναβαίνεις* (Hes. fr. 81 7). *μονῳδοὶ λέγονται ποιηταὶ οἱ μονοπροσώπως γεγραφότες ἐπιταφίους ᾠδάς, καταχρηστικῶς δὲ καὶ οἱ μονοπροσώπως ὅλην *τὴν* ὑπόθεσιν ἀφηγούμενοι, ὥσπερ νῦν ἐν τῇδε τῇ Ἀλεξάνδρᾳ ὁ Λυκόφρων ποιεῖ· | παριστᾷ γὰρ* 7a *τὸν θεράποντα *μόνον* τὴν ὑπόθεσιν ὅλην ἀφηγούμενον. | ἀλλαχοῦ γὰρ οὗτος ὁ Λυκόφρων τραγικός ἐστι ξδ' ἢ μϛ' δρά-* s4 *ματα τραγῳδιῶν γεγραφώς. | ἀλλ' ἐπειδὴ *τὰ* περὶ τοὺς ποιητὰς διηρθρώσαμέν τε καὶ ἠκριβώσαμεν, λέγειν ἐστὶν ἁρμόδιον καὶ τὰ περὶ τοῦ μονῳδοῦ τούτου Λυκόφρονος.*

Γένος Λυκόφρονος.

**Ὁ* Λυκόφρων οὑτοσὶ τῷ μὲν γένει Χαλκιδεὺς ἦν, υἱὸς* s4 *Σωκλέους ἢ Λύκου τοῦ ἱστοριογράφου κατά τινας. | εἷς δὲ ἦν* schol. H 57 *τῶν ἑπτὰ ποιητῶν, οἵτινες διὰ τὸ εἶναι ἑπτὰ τῆς Πλειάδος ἐλέγοντο· ὧν τὰ ὀνόματα Θεόκριτος ὁ τὰ βουκολικὰ γράψας, Ἄρατος ὁ τὰ Φαινόμενα γράψας καὶ ἕτερα, Νίκανδρος Αἰαντίδης ἢ Ἀπολλώνιος ὁ τὰ Ἀργοναυτικά, Φίλικος, Ὅμηρος ὁ νέος τραγικός — *ἔστι γὰρ καὶ ἕτερος Ὅμηρος, οὗπερ ἐγὼ τὸν Ἡσίοδον νομίζω ἰσόχρονον, κἄνπερ τὰ τοῦ παλαιοῦ Ὁμήρου μετατρέπωσιν εἰς αὐτόν* — ὁ Ἀνδρομάχου Βυζάντιος, ὃς δράματα ἐποίησεν νζ', καὶ οὗτος ὁ Λυκόφρων | κἂν ἕτεροι μὴ* s4?

---

8 ✕ *Χαῖρις* y2 m¹ 9 *αὐτοὺς* a m² 22 *διωρθώσαμεν* c
34 *νζ* | *ἑπτὰ* a

εἰδότες ἄλλους φασὶν εἶναι τῆς Πλειάδος. | ἦσαν δὲ οὗτοι ἐν *sch. Theocr XVII14.61.11
*χρόνοις Πτολεμαίου τοῦ Φιλαδέλφου καὶ Βερενίκης, οἱ παῖδες ἦσαν ἀμφότεροι Πτολεμαίου τοῦ Λαγωοῦ καὶ Βερενίκης τῆς Ἀντιγόνου θυγατρός. | εὐδοκίμει δὲ τότε *ὁ* Λυκόφρων* s4
*οὐ τοσοῦτον διὰ τὴν ποίησιν ὅσον διὰ τὸ λέγειν ἀναγραμματισμοὺς οἷον ὅτι Πτολεμαῖος ἀπὸ μέλιτος λέγει μεταγραμματιζόμενον, Ἀρσινόη *δὲ* ἴον Ἥρας καὶ ἕτερα τοιαῦτα τούτοις ὅμοια. οὗτος ὁ Λυκόφρων τοῖς φιλαναγνωστοῦσι τῶν νέων χαριζόμενος τὸ παρὸν βιβλίον ἐξέθετο ἱστοριῶν τυγχάνον ἀνάμεστον· | τὰ γὰρ ἀφ' Ἡρακλέος καὶ τῶν Τρωικῶν* 720
*μέχρις Ἀλεξάνδρου τοῦ Μακεδόνος καὶ κατωτέρω συντεμὼν πάντα γράφει καὶ περὶ τὸ τέλος τοῦ βιβλίου ἀνατρέχει καὶ κατ' ἐπιδρομὴν *λέγει* καὶ τὴν ἁρπαγὴν τῆς Ἰοῦς τὴν παρὰ τῶν Φοινίκων, ὅθεν ὁ πόλεμος ἀνερράγη βαρβάροις καὶ Ἕλλησιν. ἡ δὲ ὑπόθεσίς ἐστι τοιαύτη· | Πρίαμος ὁ Λευκίππης* Ap. bibl. II
καὶ Λαομέδοντος | ἐξ Ἑκάβης τῆς Δύμαντος ἢ τῆς Κισσέως 146. 148
θυγατρὸς ‖ διδύμους παῖδας γεννᾷ, Κασάνδραν | τὴν καὶ Ἀλε- sch. D H 44
ξάνδραν T *καὶ Ἕλενον, οὓς ἐν τῷ τοῦ Θυμβραίου ναῷ Ἡλίου Ἀπόλλωνος ἐκόμισαν, καὶ τὰ τούτων ἐτέλει γενέθλια. συμποσιάσαντες δὲ καὶ κωμάσαντες πανημερίως ἐν τῷ ναῷ περὶ ἑσπέραν πρὸς τὴν πόλιν καὶ τὰ ἀνάκτορα ὑπεχώρησαν λήθῃ κατά τινας ἐάσαντες τοὺς παῖδας ἐν τῷ ναῷ | κατ' ἐμὲ δὲ οἰκείᾳ γνώμῃ τοῦτο σκοποῦντες ἐξ ἔθους *κρατοῦντος* ἐποίησαν· ἔκ τινων γὰρ συμβάντων ἐπεγίνωσκον ὁποῖοί τινες ἀποβαῖεν οἱ παῖδες. οὕτω γοῦν καὶ οἱ περὶ Πρίαμον περὶ τοὺς εἰρημένους ἐποίησαν.* T *τῇ ἐπαύριον δὲ τῷ ναῷ προσελθόντες β' ὄφεις ἐπηωρημένους τοῖς παισὶν εὗρον καὶ τὰ αἰσθητήρια τούτων καθαίροντας, μηδὲν δὲ λυμαινομένους αὐτούς.* ‖ *Ἀπόλλων δέ τις χρησμολόγος καὶ μάντις ὑπάρχων ἐν τῷ ῥηθέντι ἱερῷ τοῦ Ἡλίου μαντικοὺς εἶπε γενέσθαι τοὺς παῖ-*
δας, ὃς καὶ λαβὼν αὔξοντας ἐδίδασκε τὴν μαντικήν. T | *ὑπι-* Ap. bibl.
σχνεῖτο δὲ τῇ Κασάνδρᾳ, εἰ συγγένοιτο αὐτῇ, ἀρίστην αὐτὴν III 151
μάντιν ποιῆσαι. | μὴ πειθομένης δ' ἐκείνης τοῦτο ποιῆσαι S 352
| *ἐκήρυξεν ὁ χρησμολόγος ἐκεῖνος* T *Ἀπόλλων | ὡς οὐ μάντις* S 1454

5—8 *ὅμοια* Eust. Il. I 40,16 Lips. ed. 19 *ἐτέλουν* II 27 *β'* incertum *a* om. II *ἀπηωρημένους* a m² *ἐπαιρειμένους* γ2 *ἐσπειρημένους* b γ1 29 *χρησμολόγος* — Tzetz. ex. Il. 19,14 Anteh. 50 c. not. Jac. 31 *αὔξην λαβόντας* II

ἐστὶν ἡ Κασάνδρα, μαινομένη δὲ παράφρονα φθέγγεται |.
ὅθεν ὁ πατὴρ ἐς πετρώροφον οἴκημα καθείρξας αὐτήν, ἵνα 7_{18}. A
μὴ δοκῇ τοῖς Τρωσὶ μαίνεσθαι καὶ διαπαίζηται | τινὰ τρόχιν S 1471
*ἤτοι ἄγγελον ἑστῶτα *καὶ ἀκροώμενον ταύτης* προσέταξεν*
αὐτῷ ἀπαγγέλλειν |. ὃς ἄγγελος μονωδῶς καὶ μονοπροσώπως
*τῷ Πριάμῳ κατὰ λεπτὸν τὸ λαληθὲν τῇ Κασάνδρᾳ *πᾶν**
*ἀφηγεῖται λέγων αὐτῷ· λέξω σοι, *ὦ* Πρίαμε, περὶ πάντων*
ἀληθῶς τῶν λαληθέντων τῇ Κασάνδρᾳ, ὅσον τέως αὐτὸς
μνημονεύω καὶ οὐκ ἀποδεδράκασί μου τὴν μνήμην. ἢ οὕτω·
τὰ πάντα, ὦ Πρίαμε, περὶ ὧν ἐρωτᾷς, ἵνα σοι εἴπω, λέξω
ἐξ αὐτοῦ πρώτου λόγου, ἀφ' οὗ ἤρξατο ἡ Κασάνδρα λέγειν,
μέχρι τέλους. εἰ δ' εἰς μῆκος ὁ λόγος ἔλθῃ ἤτοι ἐὰν μακρὸς
γένηται ὁ λόγος μου, μὴ ἀποκνήσῃς ἀκούειν καὶ διὰ τοῦτο
*ὀργισθῇς, *ἀλλὰ συγγνωμόνει* ἤτοι μακρόθυμος ἔσο πολυ-*
λογοῦντί μοι, διότι οὐχ ὡς ἤνοιγε πρῶτον ἡ Κασάνδρα τὸ
στόμα αὐτῆς | ἡσύχως | οὕτω καὶ νῦν ἤνοιξε τὸ ἄρτι γεγονὸς 9_{22}
ποικίλον, ἀλλὰ πολλὴν κραυγὴν ἐκ τοῦ στόματος ἐξενεγκοῦσα
σύμμικτον περὶ τῶν προγεγονότων καὶ μελλόντων γενέσθαι
ἐκ τῶν λαιμῶν αὐτῆς τῶν μαντικῶν ἐξέφερεν. ἐκ τούτων δὲ
πάντων, ὧν εἶπεν ἡ Κασάνδρα, ἅτινα ἐν τῇ ψυχῇ μου ἔχω
καὶ ἀπομνημονεύσω, ἄκουσον καὶ ἀναδιδάχθητι, ὦ βασιλεῦ,
ἀναστρέφων δὲ ταῦτα ἐν τῷ λογισμῷ σου μετέρχου τοὺς
δυσνοήτους λόγους τῶν μαντευμάτων τῆς Κασάνδρας | ἀνερευ- P
νῶν | ὅπου σε ἄγει κατ' ἴχνος ἡ ἀληθὴς καὶ φανερὰ ὁδός·
**πολλὰ γὰρ εἶπε μὴ ἡσυχάζουσα*. καὶ δὴ σὺ μὲν ἄκουε, ἐγὼ*
δ' ἀπάρχομαι λέγειν· ἡ μὲν ἡμέρα ἤδη ὑπηύγαζεν ἐξ Ὠκεανοῦ 14_{28}
*ἀνατέλλουσα, οἱ ναῦται δὲ *οἱ* μετ' Ἀλεξάνδρου λύσαντες*
| τὰ ἀπόγεια | καὶ ἀνασπάσαντες | τὰς ἀγκύρας | καὶ ἀναπετά- Pp
σαντες | τὰ ἱστία | κώπαις | τὴν θάλασσαν ἔπληττον | ἐφέ- 25_{11}
ροντο δὲ πλέοντες πνέοντος ἀρκτικοῦ ἀνέμου | ἐκεῖθεν τῶν 24_{18}
Καλυδνῶν, ἅπερ εἰσὶ Τρωικὰ νησύδρια | ἡ δὲ Κασάνδρα ἐκ
τοῦ ὑψηλοῦ πετρωρόφου θαλάμου αὐτῆς τὰ κατὰ Τροίαν
ἀπάρχεται θρηνεῖν οὕτως.

Ἀλλὰ ταῦτα μὲν ἀρκούντως ἐρρέθη, λέξωμεν δὲ καὶ

---

8 *ὅσων* II 9 *ἢ* — 24 *ὁδός* | *εἰ δ' εἰς μῆκος ἔλθοι, συγγνωμόνει* γ1 12 *ἤτοι* — 24 *ὁδός* | *συγγνομώνει* γ2 26 *ἐπηύγαζεν* a 33 *θρηνωδεῖν* II

περὶ τῆς ἐπιγραφῆς· διὰ τί Λυκόφρονος Ἀλεξάνδρα ἐπεγράφη τὸ παρὸν ποίημα; πρὸς ἀντιδιαστολὴν τῶν λοιπῶν τοῦ Λυκόφρονος συγγραμμάτων· εἶπον γὰρ ὅτι ξδ´ ἢ μς´ τραγῳδιῶν ἐποίησε δράματα. ‖ *Κασάνδρα δὲ λέγεται παρὰ* [s^{4}] *τὸ κάσιν ἀνδρεῖον ἔχειν τὸν Ἕκτορα* | *αἰολικῶς δὲ γράφεται* [EM 582$_{42}$] *διὰ δύο σσ* | *Ἀλεξάνδρα δὲ ἢ παρὰ τὸ ἀλύξαι καὶ ἐκφυγεῖν τὴν τῶν ἀνδρῶν συνουσίαν ἢ παρὰ τὸ ἀλέξειν καὶ βοηθεῖν τοῖς ἀνδράσιν ἤτοι τοῖς ἀνθρώποις διὰ τῶν χρησμῶν.* ‖ *ταῦτα δὲ καὶ ψυχρά εἰσιν, ὅμως διά τινας τῶν μωρῶν τῶν τοιαῦτα λῆρα ἀπορούντων γραπτέον καὶ ταῦτα.* **ὡς** *καὶ τὸ διὰ τί* [s^{4}] *λέγεται Λυκόφρων; διὰ τὸ αἰνιγματωδῶς καὶ πανούργως λέγειν· καὶ γὰρ οἱ λύκοι πανοῦργοι.*

Ἰστέον ὡς ὁ τῇ Κασάνδρᾳ παριστάμενος οἰκέτης μαντευομένῃ αὐτὸς οὗτος ἦν ὁ Λυκόφρων ὁ τοῦ Πριάμου ὑπογραφεύς, ὃς παρὰ τοῦ Πριάμου ἐπιταγεὶς ἤκουε τῶν τῇ Κασάνδρᾳ P *λεγομένων· θυγάτηρ γὰρ Πριάμου ἡ Κασάνδρα.* s | *μαντευομένην τὴν Κασάνδραν τἀληθῆ καὶ διὰ μῆνιν Ἀπόλλωνος ἀπιστουμένην καθεῖρξεν ὁ πατὴρ οἰκέτην αὐτῇ παρακαταστήσας ἀκούειν τῶν χρησμῶν, ὅπως ἀναγραφόμενος αὐτοὺς ἀπαγγείλῃ αὐτῷ.* s **περιέχει δὲ χρησμοὺς τὸ ποίημα καὶ τὴν ἀφ᾽ Ἡρακλέους ἱστορίαν μέχρι τῆς τῶν Ῥωμαίων ἀρχῆς ἔξωθεν παρεμπλεκομένης καὶ ἄλλης ποικίλης ἱστορίας. νοητέον δὲ κατὰ τὴν ἐκτὸς ὑπόθεσιν τὸν Πρίαμον ἠρωτηκέναι τὸν ἄγγελον περὶ ὧν ἀπεφθέγγετο ἡ Κασάνδρα, τὸν δὲ ἄνωθεν διηγούμενον ἅπαντα**. | ss^{4} **προλογιζόμενος δὲ ὁ Πρία-* [8$_{33}$] *μος φαίνεται**.

ἡ δὲ ἱστορία τοιαύτη· Ἀπόλλων ἐρασθεὶς Κασάνδρας [10$_{23}$] *ἐδίωκεν αὐτήν. αὕτη δὲ ὑπ᾽ αὐτοῦ καταλαμβανομένη* †T *ᾐτήσατο,* [sch. Eur. Andr. 296] *ἵνα δῷ αὐτῇ τὴν μαντικήν, ὑποσχομένη τὸν γάμον· τοῦ δὲ θεοῦ παρασχόντος τοὺς γάμους αὐτῷ διεψεύσατο, ὅθεν ὀργισθεὶς ὁ θεὸς τὴν μαντικὴν* **ὡς** *θεῖον οὖσαν δῶρον ἀπ᾽ αὐτῆς οὐκ ἀφείλατο, ἀπιστεῖσθαι δὲ αὐτὴν ἐποίησε μαντευομένην τὰ ἀληθῆ* | *καὶ ὡς μαινομένην ἡγεῖσθαι* |. [S 350]

---

9 *δὲ* ⟨*ληρώδη*⟩?

1 λέξω ἅ μ' ἱστορεῖς· τρία εἴδη τῆς συναλοιφῆς ἁπλᾶ καὶ τέσσαρα σύνθετα· ἁπλᾶ μὲν ἔκθλιψις, κρᾶσις καὶ συναίρεσις, σύνθετα δὲ ἔκθλιψις καὶ κρᾶσις, ἔκθλιψις καὶ συναίρεσις, κρᾶσις καὶ συναίρεσις, ἔκθλιψις καὶ κρᾶσις καὶ συναίρεσις. ἁπλῆ μὲν ἔκθλιψις ὡς τὸ οὐχὶ οὕτως οὐχ' οὕτως, κρᾶσις δὲ ὡς τὸ ἐποιήσαο ἐποιήσω καὶ συναίρεσις ὡς τὸ πάις παῖς, σύνθετα δὲ οἷον ἔκθλιψις καὶ κρᾶσις ὡς τὸ καὶ ἐγὼ κἀγώ, ἔκθλιψις καὶ συναίρεσις ὡς τὸ †ἔμ' οὐπ' ὀδύνῃ, κρᾶσις δὲ καὶ συναίρεσις ὡς τὸ ὡπόλος ἀντὶ τοῦ ὁ αἰπόλος, ἔκθλιψις δὲ καὶ κρᾶσις καὶ συναίρεσις ὡς τὸ | κἆτα καὶ εἶτα καὶ | ὡπόλοι ἀντὶ τοῦ οἱ αἰπόλοι. sch. D. Thr. 1 cod. V 551a

λέξω· τοῦτο τὸ σχῆμα καὶ ὁ ποιητικὸς τρόπος παρεπιγραφή ἐστιν, ὅτι ὃ ἄνωθεν οὐκ ἐμφαίνεται, δείκνυται παρεπιγραφόμενον ἐκ τῆς κειμένης γραφῆς. οἷον ὁ Πρίαμος ἐνταῦθα οὐ φαίνεται ἐρωτῶν, ἐκ δὲ τοῦ λέξω σοι δηλοῦται λοιπὸν | ὅτι προηρώτησεν |. οὗτος δὲ ὁ τρόπος, ὡς ἔφην, καὶ τὸ σχῆμα παρεπιγραφὴ λέγεται. | οἱ δὲ τὸ προοίμιον ὀβελίζειν πειρώμενοι | δοκοῦσί μοι καὶ τοὺς ποιητικοὺς τρόπους ἠγνοηκέναι. τὰ πάντα· ποῖα *πάντα*; *ταῦτα* ἃ ἀκούσας ἐκ τῆς Κασάνδρας ἐν μνήμῃ φέρω. νητρεκῶς | ἀληθῶς παρὰ *τὸ* νη | στερητικὸν μόριον καὶ τὸ τρέσω τὸ φοβοῦμαι· οἱ γὰρ τἀληθῆ λέγοντες οὐ δειλιῶσι κατάγνωσιν ὡς οἱ ψευδόμενοι. infr. 9 P

λέξω τὰ πάντα· τοῦτο τριχῶς ἀποδίδοται· λέξω σοι | ἀληθῶς | ὦ Πρίαμε | ἅ με πυνθάνῃ | ... ἤτοι οὖν τὴν διάλυσιν τῆς συναλιφῆς οὕτως† ἀπολυτέον ἀλλ' ἱστόρει ἢ ἅ μ' ἱστόρεις ἃ μηδὲ καθιστορεῖν ἐγίνωσκες ἢ ἅ μ' ἱστορεῖς ὡς τοῦ Πριάμου πρότερον πυνθανομένου κατὰ τὸ

P

ἅ μ' ἱστορεῖς· τρισσῶς λέγεται ἅ μ' ἱστορεῖς. τὸ δέ με ἀντίπτωσις ἀντὶ τοῦ μοι. καὶ τὰ φωνήεντα δὲ μακρὰ κουφίζουσιν οἱ ποιηταὶ καὶ ῑ καὶ ῡ καὶ ἕτερα τοιαῦτα δύο γράμματα ὡς τὸ πόσσ' ἀπαλοῖσιν (Hes. Θ 3) ἀντὶ τοῦ ποσίν. συντάσσεται γοῦν, ὡς ἔφην, τρισσῶς ἅ με ἱστορεῖς

9 †ἔμ' οὐπ' ὀδύνῃ v. sch. Dion. Thrac. l. l.25 14 παρεγγραφόμενον a 22 τρέσσω b τρέμω c 27 πυνθάνου cl. T Wentzel 28 lac. ind. 30b δύο om. a m¹ γ2 30 μ' | μὴ Wentz. 31 ἱστορεῖς 32 ἅ μ' | ἅ με T et Wentz.

σιωπώμενον ὡς Ἀριστοφάνης εἰ μὴ Προμηθεύς εἰμι, τἄλλα ψεύδομαι (fr. 624 Dind.). s

ἤτοι ἀνερωτᾷς, ἢ ἃ μὴ ἱστορεῖς κατὰ συναλοιφὴν ἢ δεῖ στίζειν εἰς τὸ νηγρεκῶς καὶ ἀφ' ἑτέρας ἀρχῆς λέγειν τὸ ἀλλ' ἱστόρει ἤτοι ἱστορῶν καὶ ἀκούων μάνθανε.

θεράπων ἐστὶν ὁ προλογίζων πρὸς τὸν Πρίαμον. ἐκβάλλεται δὲ τὸ προοίμιον παρά τισιν· οὐ γὰρ φαίνεται οὐδὲν ἐρωτῶν ὁ Πρίαμος. ss[4]

2 μηκυνθῇ· μακρός μακρυνθῇ *καὶ ἰωνικῶς μηκρυνθῇ* καὶ ἐκθλίψει τοῦ ρ̄ αἰολικῶς μηκυνθῇ. T

3 ἥσυχος κόρη ἡ ἡσυχεστάτη· ὡς ἁρμόδιον γὰρ ἡ σιωπὴ καὶ γυναιξί, μήτοιγε μόνον παρθένοις, ὡς *καὶ* φησι Σοφοκλῆς γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει (Ai. 293). s[4]?
P? ἄλλως. διχῶς ταῦτα· ἢ οὕτως | *οὐ γὰρ* ἥσυχος ὑπάρχει ἡ κόρη | καὶ στίζεις ἐνταῦθα ἢ οὕτως s[4]

οὐ γὰρ ἥσυχος κόρη· οὐ γὰρ ὡς | τὸ πρότερον ἥσυ-
P χος ss[4] οὖσα | s[5] τὸ στόμα ἔλυσε τῶν ποικίλων χρησμῶν. ss[5]

οὐ γὰρ ἥσυχος κόρη ἔλυσεν ἤτοι κατέπαυσεν ἀπὸ τῶν χρησμῶν τὸ αἰόλον στόμα ὡς τὸ πρίν.

⟨ἥσυχος⟩ κατάχρησις ἀντὶ τοῦ ἡσύχως καὶ ἱλαρῶς. s[2] cf. T
P 6ιε αἰόλων δὲ διὰ τὴν | πολυμάθειαν | τῶν χρησμῶν ἢ διὰ τὰ | αἰνίγματα | οἷον αἰνιγματωδῶς λέγει ὡς ἡ Σφίγξ. s

4 ἔλυσε χρησμῶν· τὸ ἑξῆς . . . . ἔλυσε χρησμῶν | αἰόλον στόμα |· καὶ γὰρ πολλὰ ἐχρησμολόγει. ἢ οὕτως· οὐ γὰρ ἡ φύσει ἥσυχος κόρη, διὰ δὲ τὰς μαντείας κωλυομένη ἥσυχος εἶναι ἀνέλυσεν ὡς πρὶν τὸ αἰόλον στόμα. s

---

16 *στίζοις? 23 αἰόλον. correxi in adn. cr. Alex. a. l. 25 lac. ind.: excidit οὐ γὰρ ἥσυχος οὖσα ἡ κόρη cf. s[5] p. ambigebat scholiasta, essetne ἥσυχος cum ipso nomine coniungendum (ἡ φύσει ἥσυχος κόρη s) an pro praedicato esset (ἥσυχος οὖσα κόρη ps[5]) an ipsum esset praedicatum (ἥσυχος Ps[4] ἦν P ὑπάρχει s[4]). aliter Wentz. Ἐπικλ. Vs
28 ἀνέλυσεν V ἀνέδυσεν s

P ⟨*αἰόλον διὰ*⟩ τὸ πλῆθος τῶν χρησμῶν. ἢ | τὸ ποικίλον |
ὅτι μάντις ἦν καὶ μουσική. s *αἰόλον* | τὸ ποικίλον | ἀπὸ P
τοῦ παλαιοῦ Αἰόλου πολυτρόπου ὄντος ὡς | τὸ δαίδαλον ἀπὸ EM 2
τοῦ ἀνδριαντοποιοῦ Δαιδάλου | *αἰόλον δὲ στόμα* εἶπε διὰ
τὴν ποικιλίαν καὶ στροφὴν τῶν αὐτῆς χρησμῶν. *Ὅμηρος δὲ sch. v
τὸ *αἰόλον* ἐπὶ τοῦ ταχυτάτου λέγει ὡς τὸ *κορυθαίολος
Ἕκτωρ*, οὗτος δὲ ἐπὶ τοῦ ποικίλου*. *στόμα* παρὰ τὸ
τέμνειν τὰ σιτία. T

p 5 *ἄσπετον* ἀπλήρωτον | πολύν. | *Eg. (EM 156$_{51}$). *ἄσπε-
τον* | πολλὴν | ἀπαρακολούθητον, ἐκ τοῦ σπῶ τὸ ἀκολουθῶ | p EG
ἢ μεταλαμβάνω, ἣν οὐ δύναταί τις μεταλαβεῖν καὶ νοῆσαι ἢ
ἥτινι οὐ δύναταί τις παρακολουθῆσαι διὰ τὸ πλῆθος τῶν
λεγομένων. *χέασα·* τροπικὴ ἡ λέξις καὶ μεταφορική, ἀπὸ
τῶν χεομένων ὑδάτων. T

6. *δαφνηφάγων·* εἰώθασιν οἱ μάντεις δάφνας προσ-
σθίειν. s² **δαφνηφάγον* μαντικὴν ἢ* *δαφνηφάγων* *ἢ*
μάντεων ἢ μαντικῶν ἐκ λαιμῶν. ληροῦσι γὰρ | ὅτι οἱ μάντεις S
δάφνας ἐσθίοντες ἐμαντεύοντο | ἵνα τῇ ὀπωπῇ καὶ τῇ ὀσφρή-
σει γαννύμενος ὁ θεὸς ἀντιδίδωσιν αὐτοῖς τὰς θεοπροπίας
χαίρων. ἡ δὲ ἱστορία ἡμῖν δηλώσει· ‖ Λάδων ὁ ἐν Ἀρκα- sch. D
δίᾳ ποταμὸς τῇ Γῇ συγγενόμενος ἐγέννησε παῖδα *ὀνόματι*
Δάφνην πάνυ ὡραίαν τῷ εἴδει. ταύτης ἐρασθεὶς Ἀπόλλων
ἐδίωκεν αὐτήν. ἡ δὲ συλλαμβάνεσθαι μέλλουσα ηὔξατο τῇ
μητρὶ αὐτῆς Γῇ, ἡ δὲ χανοῦσα ὑπεδέξατο αὐτήν. ἡ Γῆ δὲ
| τὸν Ἀπόλλωνα παραμυθουμένη | ὁμώνυμον τῇ κόρῃ φυτὸν Nonn.
ἀνέδωκεν, ὃ καὶ δάφνη καλεῖται. | ἔστι δὲ ἀειθαλὲς | καὶ μηδέ- Π 2 Hes. (
ποτε μαραινόμενον | ἐπεὶ καὶ ἡ κόρη ἄφθαρτος ἐκ τοῦ Ἀπόλ- E 4
λωνος ἔμεινεν T. Ἀπόλλων δὲ συνείρας στέφανον ἐκ τῶν τοῦ
φυτοῦ φύλλων ἐστεφανώσατο διὰ τὸν τῆς ὁμωνυμίας κόρης
ἔρωτα ‖ ὅθεν καὶ τὰ ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος στέμματα sch. A
ἀπὸ δάφνης ἦσαν κατεσκευασμένα. | ὅθεν ληροῦσιν ὅτι καὶ T 3
οἱ μάντεις | δι᾽ εὐφροσύνην Ἀπόλλωνος T δάφνας ἤσθιον. | supr.

---

1 ⟨*αἰόλον διὰ*⟩ *Wentz.* 2 *ὅτι — μουσική* post 15 *δαφνηφάγων* *Wentz.* 11 *καταλαμβάνω* et *λαβεῖν* γ1 15 *εἰώθασι δ᾽ Wentz.* 29 *ὁμωνύμου* b m¹ γ2 om. γ1

καὶ ταῦτα μὲν τὰ ληρώδη καὶ μυθικά, τὸ δ' ἀληθὲς οὕτως ἔχει· οἱ χρησμολόγοι καὶ μάντεις στεφάνους δάφνης φοροῦντες ὡς ἀειθαλοῦς ὄντος τοῦ φυτοῦ καὶ | ἀλεξικάκου | καὶ οὕτω Nic. A
τοῖς χρήζουσι τοὺς χρησμοὺς λέγοντες καὶ λαμβάνοντές τι ἐξ αὐτῶν καὶ οὕτω διατρεφόμενοι *εἰς* τὸν μῦθον ἐτέθησαν ὅτι δαφνηφάγοι εἰσὶν ἤτοι ἐκ τοῦ στεφανοῦσθαι δάφνῃ καὶ λέγειν τοὺς χρησμοὺς ἔχουσι τὰς τροφάς. T

P φοιβάζειν ἤγουν μαντεύεσθαι. ✕Eg (EM 797₈)

φοίβαζεν | ἐμαντεύετο | ἀπὸ τοῦ Φοίβου τοῦ Ἀπόλλωνος. P

cf. P 7 Σφιγγὸς κελαίνης διὰ τοὺς φόνους ἢ τὰ αἰνίγματα. s⁴ αὕτη ἡ Σφὶγξ θυγάτηρ γέγονε Λαίου s

ἔμπροσθε μὲν εἶδος ἔχουσα λέοντος, ὄπισθεν δὲ ἀνθρώπου, φανεῖσα δὲ τοῖς ἐντοπίοις εἶπε τοιοῦτον αἴνιγμα· s

τὴν δὲ Σφίγγα λέγουσιν ἔχειν εἶδος ἔμπροσθεν *μὲν* λέοντος, ὄπισθεν δὲ ἀνθρώπου | γρυπὸς πτέρυγας, ὄνυχας ἀετοῦ | καὶ τοιαῦτα τεράστια. τὸ δ' ἀληθὲς οὕτως ἔχει· ‖ αὕτη *S 146 Mal. p.
λῃστρὶς ἦν περὶ τὴν Μωάβην, χώραν Θηβῶν | καὶ τὸ Φίκιον Ap. bi III 5
ὄρος | καὶ ἀνῄρει τοὺς παριόντας. ‖ ὃς δ' ἂν εἶπε τὸ ταύτης αἴνιγμα, τοῦτον ἠλευθέρου. *πάρεργον δέ ἐστι καὶ περισσὸν λέγειν καὶ τὸ αἴνιγμα ὡς* πᾶσι δῆλον· εἰ δὲ καὶ τοῦτο θέλει τις μαθεῖν μὴ γινώσκων, ἔστι τόδε· T

ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία μορφή, καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ' ἐπὶ γαῖαν ἑρπετὰ γίνονται ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον. ἀλλ' ὁπόταν πλείστοισιν ἐπειγόμενον ποσὶ βαίνῃ, ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ. ss⁴

πρὸς ἣν ἀπεκρίθησαν ὅτι τὸ αἴνιγμα τοῦτο ἄνθρωπον σημαίνει· ὅταν γὰρ γεννηθῇ ὁ παῖς, περιπατεῖ τετραποδιστί, αὐξηθεὶς δὲ διὰ δύο ποδῶν

ἐμυθεύσαντο γοῦν αὐτὴν λέαιναν διὰ τὸ φονικόν, ὄνυχας ἀετοῦ ἔχειν διὰ τὸ ἁρπακτικόν, πτέρυγας δὲ γρυπὸς διὰ τὸ τοὺς σὺν αὐτῇ λῃστεύοντας

---

5 ἐπέθηκαν γ2 10 Σφιγγὸς — 12₆ ἀγνοῶν om. γ2 15ᵇ ὄνυχας, πτέρυγας b 23 βοὴν a m² γ1 24 γίνηται T 26 μένος a m² τάχος μένος γ1 ἀφαυρότερον a. cf. Schwartz sch. Eur. Ph. I 243₂₀ 256₂₀ (T memoriter versus s⁴ adulteravit) 30ᵇ γρυπὸς b γ1 31ᵇ ἀετοῦ b γ1 32 αὐξανόμενος T

καὶ γηράσκων διὰ τριῶν, ὅτι μετὰ ῥάβδου βαίνει. ss⁴s⁵

πάντας περιτρέχειν συντόμως καὶ ἀναιρεῖν τοὺς ὁδεύοντας. T

ταύτην Οἰδίπους ἀνεῖλεν ἐλθὼν μεθ' ἑτέρων ὡς δῆθεν χρήζων συλληστεύειν αὐτῇ καὶ τὸ σῶμα αὐτῆς ὄνῳ θεὶς κατήγαγεν ἐς Θήβας καὶ ἔδειξε τοῖς Θηβαίοις καὶ δῶρον | εἰλήφει τὴν βασιλείαν καὶ τὴν μητέρα γυναῖκα ὡς ἀγνοῶν. Mal. Ap. 1 54. 5

P 7 *κελαίνης τῆς ἀσήμου καὶ | σκοτεινῆς | διὰ τὰ αἰνίγματα.* ss⁴ *Σφιγγὶ δὲ τὴν Κασάνδραν παρεικάζει | διὰ τὸ αἰνιγματώδεις αὐτῆς εἶναι τοὺς χρησμούς |.* ss⁴s⁵ *τὴν δὲ Σφίγγα λέγουσιν εἶναι θυγατέρα τοῦ Λαίου.* s⁴s⁵ cf. 11₁₁

8 *ἄσσα καὶ ἅττα ἀντὶ τοῦ ἅτινα δύο μέρη λόγου δασύνεται, ἄττα δὲ ἀντὶ τοῦ τινὰ λέγουσιν* (EM 167₃₅) *ὅτι ψιλοῦται. ἐμοὶ δὲ καὶ τοῦτο δασύνειν δοκεῖ, τὸ δὲ ἄττα ἀντὶ τοῦ τροφεῦ λέγω ψιλοῦσθαι.* T *θυμῷ παρὰ τὸ θύειν τὸ αἷμα, θύαιμος καὶ θυμός.* EG 2

9 *κλύοις ἀντὶ τοῦ κλῦθι ἀττικῶς, τὸ εὐκτικὸν ἀντὶ προστακτικοῦ.* T **ὦναξ ἀντὶ τοῦ* ἄναξ δωρικῶς ὀξύνεται· τὸ γὰρ ā οἱ Δωριεῖς εἰς ω̄ μέγα τρέπουσι τὸν ἄνθρωπον ὤνθρωπον λέγοντες καὶ τὰ ὅμοια. οὕτω καὶ τὸ ἄναξ ὦναξ. εἰ δέ ἐστιν ἀττικὴ συναλοιφὴ ἀντὶ τοῦ ὦ ἄναξ, περισπᾶται διὰ τὸ ω̄ τῆς κλητικῆς. ἔχει δὲ καὶ μικρὰν ὀξεῖαν τοῦ ἄναξ καὶ εἰς τὸ ν̄ ψιλὴν τοῦ ἐκθλιβέντος ā.* (sch.

P *ἔστι δὲ κυρίως τὸ τῷ ε̄ ἀριθμῷ ἀναμετρεῖν καθὼς οἱ ἀρχαῖοι.* s²

πεμπάζειν κυρίως τὸ κατὰ ε̄ ε̄ μετρεῖν, νῦν δὲ τὸ πεμπάζων ἀντὶ τοῦ | ἀναλογιζόμενος | κεῖται καὶ | ἔστιν ἡ φωνὴ Αἰολέων |. T *ἀναπεμπάζειν μεταφορικῶς τὸ ἀναμετρεῖν καὶ ἀναλογίζεσθαι.* Eust. Il. I 112₁. P vit. H

φρενὶ πυκνῇ φρονιμωτάτῃ διοίχνει πορεύου, διέρχου· τροπικὴ ἡ λέξις ἀντὶ τοῦ νόει· δυσφάτους δυσλέκτους, δεινὰς αἰνιγμάτων· αἰνίγματα καλεῖ τὰ χρησμωδήματα τῆς

---

23 sch. δ 412 25ᵇ *ἀναλογιζόμενος* sch. Ap. Δ 1748

1ᵇ *πανταχοῦ* b γ1 3 *ἀνελθὼν* b γ1 23 *ἔστι* | *ἡ* 30 *χρησμοδοτήματα* b γ1 *χρησμοδήματα* γ2 cf. 13₂₇

Κασάνδρας· οἶμους τυλίσσων | ὁδοὺς ἐρευνῶν |. κἀνταῦθα P τροπικῶς οἴμους καὶ ὁδοὺς λέγει τὴν ὁρμὴν τῶν λόγων τῆς Κασάνδρας ἢ οἴμας τὰς ᾠδάς· οἶμος γὰρ ὁδός, οἴμη δὲ ἡ ᾠδή. T

11 ἧπερ εὐμαθὴς τρίβος· ῥητορικῶς πάνυ τὴν τροπὴν ἐφύλαξε καὶ ὡς ἐπὶ ὁδοῦ λέγει πόρευσιν τρίβον καὶ ποδηγίαν τὴν ἀνερεύνησιν καὶ μάθησιν τῶν λόγων τῆς Κασάνδρας. T

P 12 ὀρθῇ κελεύθῳ. s | *αὕτη γάρ, φησίν, ἡ ὁδὸς τὰ ἐν σκότει καὶ ἀφανῆ ὄντα ἀνευρίσκει*. | ss⁴ εὐμαθὴς τρίβος πασίγνωστος ὁδὸς ὀρθῇ κελεύθῳ ἀπλανεῖ πορείᾳ τὰν σκότῳ ποδηγετεῖ φανεροῖ καὶ σαφηνίζει τὰ *δεινὰ καὶ* δυσνόητα. T *τὸ δὲ T ποδηγέτει ss⁴ δὲ s ἀπὸ τῶν κυνηγῶν μετηνέχθη. ss⁴ ἕπονται γὰρ οἱ κύνες τοῖς τῶν θηρίων ἴχνεσιν ἐν τοῖς κυνηγεσίοις. T τινὲς δὲ προστακτικῶς ἀνέγνωσαν. ss⁴ ἤγουν ὅπου τις εὐμαθὴς τρίβος ἡ ὁδὸς ἐπὶ τὰ σαφῶς ἔχοντα ἄγει σε*. T

13 μηρίνθου σχάσας | ἀντιστρόφως εἴρηκεν· ἔδει γὰρ εἰπεῖν ἐγὼ δ' ἄκρας βαλβῖδος μήρινθον σχάσας ἀντὶ
p τοῦ | διαρρήξας. | s ἐπ' ἄλλην τροπὴν μεταβέβηκε θεωρικῶν καὶ ἱππικῶν ἀγώνων καί φησιν ἐγὼ δὲ τὴν ἄκραν *ἤτοι τὴν πρώτην* βαλβῖδα | τὴν ἀφετηρίαν | τὸ κάγκελλον σχάσας καὶ ἀνοίξας διὰ τῆς μηρίνθου ἤτοι | σχοίνου ἀνέρχομαι | εἰς τὰς διεξόδους καὶ ὁδοὺς τῶν λοξῶν λογίων τῆς Κασάνδρας. T

14 ἄνειμι λοξῶν τουτέστιν ἀνέρχομαι καὶ ἀπάρχομαι λέγειν τὰ λοξὰ ταύτης χρησμῳδοτήματα. τοῦτο δὲ τὸ σχῆμα ῥητορικόν ἐστιν, καλεῖται δὲ προαναφώνημα καὶ ὑπόσχεσις καὶ προκατασκευὴ καὶ προκατάστασις καὶ προσοχὴ καὶ προδιήγησις· προαναφωνεῖ γὰρ καὶ ὑπισχνεῖται καὶ προκατασκευάζει ὅτι λοξῶς καὶ αἰνιγματωδῶς καὶ δυσκόλως γράφειν τὰ τῆς διηγήσεως *τοῦ* ποιήματος μέλλει. διὰ δὲ τοῦτο

---

1 οἶμας b γ1 οἶμας γ2 2 οἶμους b γ1 3 οἶμας b γ1 οἶμος b γ1 οἴμη γ1 27 χρησμοδοτήματα b γ1 χρησμῳδήματα b m² γ2 m² cf. Zon. 1862 32 ποιήματα a διὰ τί II

μέλλει ποιεῖν μίμημα τῆς Κασάνδρας ὥσπερ ἐκείνη λοξῶς ἐλάλει καὶ σκολιῶς. δεῖ γὰρ τὸν ῥήτορα καὶ ποιητὴν ἀπομιμεῖσθαι τὰ ἤθη τῶν προκειμένων προςώπων καὶ μὴ ἀνηθίκευτον εἶναι καθάπερ ὁ Εὐριπίδης | φιλοσοφούσας ἐπάγων [sch. Eur Hipp. 9…] ἐνίοτε βαρβάρους γυναῖκας | καὶ δούλους δεσπόταις τραχυτάτως ἀντιλέγοντας | καὶ βασιλεῖς προςαιτοῦντας μετὰ σπυρίδων ἢ πήρας, ὅπερ οὐκ ἂν γένοιτο· τίς γὰρ οὐκ αἰδεσθήσεται βασιλεὺς μετὰ τὴν τῆς βασιλείας καθαίρεσιν σπυρίδα κατέχειν καὶ ἄρτον ζητεῖν; ἢ τίς αὐτὸν καὶ οὕτως ἐκστάντα [sch. Ar. … 949—9…] οὐκ ἂν πάλιν ἐτίμησε τὴν προτέραν ἐκείνου τύχην σκοπῶν; τοιαῦτα γοῦν πολλά φησιν Εὐριπίδης | διὸ καὶ μεμπτός ἐστιν [sch. Eur Med. 53…] ἐν τούτοις ὡς μὴ τηρῶν ἠθῶν τὴν κατάστασιν. τὸ δὲ μεῖζον ὅτι καὶ ἐναντία πολλάκις ἑαυτῷ λέγει.

15 *πρώτην ἀρράξας νύσσαν* τὴν πρώτην νύσσαν καὶ ἔκβασιν καὶ ἀπαρχὴν καὶ τὸ προοίμιον ἀρράξας ἐπικροτήσας, κτυπήσας τουτέστι ῥητορικῇ μεγαλοφωνίᾳ ἀπαρξάμενος τρέχειν τοῖς λόγοις ὡς πτερωτὸς καὶ | ταχὺς δρο- [P]

[P] ννυί | ἀρχήν. ἡ δ καμπτὴρ καὶ ἡ ἀφετηρία | ὅθεν ἀφίενται οἱ δρομεῖς. s².

μεύς |. νύσσα λέγεται ἡ ἀφετηρία καὶ ἡ ἀπαρχὴ τοῦ δρόμου παρὰ τό νύσσω τὸ διεγείρω καὶ τιτρώσκω· ἐν γὰρ τῇ ἀφετηρίᾳ τῶν ἱππικῶν τοὺς μὲν ἵππους κεντοῦσιν οἱ παρεστῶτες σιδηροῖς κέντροις, ὡς ἂν ὀξυτέρως ἐκπηδήσωσι τῇ πληγῇ, τοὺς δὲ πεζοὺς λόγοις νύσσουσι καὶ παραινοῦσι καὶ αὐτοὶ δὲ μόνοι ἑαυτοὺς νύσσουσιν εἰς δρόμον. καὶ οὕτω μὲν ἡ ἀφετηρία νύσσα καλεῖται· | ὁ δὲ [EM 609…] καμπτὴρ νύσσα λέγεται παρὰ τὸ νεύω νεύσω νεῦσα καὶ νύσσα· | νεύουσι γὰρ περὶ τὸν καμπτῆρα καὶ κάμπτουσιν.

Ἠὼς μὲν· ἡμέρα ἦν ss⁴ φησὶν s ὅτε ὁ Ἀλέξανδρος ss⁴ τῆς Τροίας τόπων T ἀπέπλει καὶ ss⁴ παραυτίκα, φησὶν T ἡ Κασάνδρα ἤρξατο λέγειν. ss⁴ ἐνταῦθα ἀπάρχεται τῆς διηγήσεως καί φησιν· ἡ Ἡμέρα μὲν ἤδη τὸ Φήγιον | ὄρος [15…] τοῦ Ὠκεανοῦ | ὑπερεπέτετο | ἐποχουμένη τῷ Πηγάσῳ | ἵππῳ [p 15…] τὸν σὸν ἀδελφὸν Τιθωνὸν καταλιποῦσα περὶ τὴν Κέρ-

---

1 ποιεῖν; κατὰ Π 4 ×εἰσάγων sch. Eur. l. l. 5 δούλας a cf. sch. l. l. 9 ἄρτους Π 10 οὐκ inepte 13 καὶ ὡς a λέγων a 28 ὄρθρος T

νην, ἥτις ἐστὶ | νῆσος Ὠκεανῖτις | . ἠὼς σημαίνει τέσσαρα· P
τὸν ἀπὸ πρωίας μέχρι τοῦ γεύματος καιρὸν | καὶ τὴν ὅλην sch. μ 4
ἡμέραν, τὸ νυχθήμερον, καὶ καθολικωτέρως αὐτὸ τὸ †λέγειν sch. ε 1
ὄνομα Ἠοῦς καὶ Ἡμέρας, ὅπερ οἱ μυθογράφοι σωματοειδῆ
θεὰν εἶπον | ὡς ἐπὶ τοῦ Ἠὼς δ' ἐκ λεχέων (Λ 1) *καὶ τὸ* sch. D Θ
ἀπὸ ἀνατολῆς μέχρι μεσημβρίας τοῦ ἡλίου διάστημα ὡς ἐν
τῷ ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξατο ἱερὸν ἦμαρ (Θ 66)
καὶ τὸ νυκτὸς καὶ ἡμέρας διάστημα ὡς τὸ ἠὼς δέ μοι ἥδε
δυωδεκάτη, ὅτ' εἰς Ἴλιον εἰλήλουθα (Φ 80). *Φήγιον*
P *δὲ | ὄρος περὶ τὸν Ὠκεανόν |* ss[4] *φηγοὺς ἤτοι δρῦς ἔχον.*
s[4] *Φήγιον ὄρος — ὃ πολλὰς δρῦς εἶχεν.* Eust. Il. 141$_{33}$ *τὸ δὲ* EG 62$_{55}$
φηγός ἡ δρῦς παρὰ τὸ φάγω· πρὸ γὰρ τῆς εὑρέσεως τοῦ 551$_{34}$
ἄρτου βαλάνους καὶ ἀκρόδρυα ἀντὶ ὀπώρας ἤσθιον οἱ ἄν-
P *θρωποι.* *πάγον δὲ ἀκρωτήριον.* ss[4]

17 *κραιπνὸν τὸ ταχὺ παρὰ τὸ ἐφ' ὕψους καὶ εἰς χάραν*
p *πνέειν.* T *ὑπερποτᾶτο τὸ | ὑπερεπέτετο |* s[4]? *Πηγά-*
σου πτεροῖς περιφραστικῶς τῷ Πηγάσῳ. Ὅμηρος πανσό-
φως καὶ ἀλληγορικῶς φυσικώτερον γράφων

Πηγάσου πτεροῖς· Ὅμηρος μὲν Λάμποντα καὶ Φαέθοντα ἵππους λέγει τῆς Ἡμέρας (ψ 246), *οὗτος δὲ Πηγάσῳ φησὶν ἐποχεῖσθαι.* s

ἵππους Ἡμέρας φησὶ Λάμποντα καὶ Φαέθοντα, οἱ δὲ νέοι τῷ Πηγάσῳ ἐποχουμένην αὐτὴν εἰσάγουσι μυθικῶς ὥσπερ καὶ ὁ Λυκόφρων. ἔχεται
δὲ καὶ τοῦτο ἀλληγορίας, ἣν μετὰ τὴν μυθικὴν ἱστορίαν ἐρῶ.

δ *Πήγασος οὗτος ὁ μυθευόμενος ἵππος λέγεται γεννηθῆναι*
τοιῶσδε· | σταλεὶς ὁ Περσεὺς ἐπὶ τὰς γοργόνας προστάξει Ap. bibl. I
τῆς Ἀθηνᾶς τὴν Σθενὼ μὲν καὶ τὴν Εὐρυάλειαν ἀθανάτους 41 sch. Δ 151
οὔσας παρέδραμε, καρατομεῖ δὲ τὴν Μέδουσαν. | ἐκ τοῦ Hes. Θ 2
τραχήλου δὲ ταύτης ὅ τε Πήγασος οὗτος ἵππος ἀνέθορεν ὑπό-
πτερος ὢν καὶ ὁ Χρυσάορ | ἄνθρωπος T *χρυσοῦν ἄορ κρα-*
τῶν. | Βελλεροφόντης δὲ ὁ Κορίνθιος ὁ καὶ Ἱππόνους καλού- sch. D Z
μενος | ἀνὴρ ὑπάρχων Φρυγίας †T *ἄκων | ἀνελών τινα Κορίν-* Ap. bib
θιον Βέλλερον | ἢ τὸν ἴδιον ἀδελφὸν τὸν Ἡλιάδην ἢ Πειρεῖναν II 30 sch Ap. bibl.

---

1 *σημαίνει* — 9 *εἰλήλουθα* proll. 2   3 × *λέγειν* ante *αὐτό*   20 × *λαμπον V b γ1*   32 *ὑπάρχων* 'praefectus'? Hist. VII 813 (sch. D. l. l.)   33 *τὸν ἡλιάδην* in lacuna a m[1] relicta *a* m[2]*c* (*ἡ- γ2*) *δηλιάδην b* cf. Hist. l. l. (sch. D l. l.) v. l. Ap. bibl.   *πυρίναν γ2 πειρῆνα b τὸν πειρῆνα γ1* cf. Ap. bibl. et Zen. II 87.

ἡ Ἀλκιμένην ἐλθὼν εἰς Ἄργος πρὸς Προῖτον καθαίρεται |. Ἄντεια δὲ | ἡ καὶ Σθενέβοια | γυνὴ Προίτου ἐρωτικῶς ἐπεμάνη Βελλεροφόντῃ. ὡς δ' οὐκ ἐπείσθη συγγενέσθαι αὐτῇ, διαβάλλεται παρ' αὐτῆς Προίτῳ ὡς πειράζων αὐτήν. Προῖτος δὲ αὐτοχειρίᾳ ἀνελεῖν τοῦτον οὐκ ἠθέλησε | κατά τι παλαιὸν ἔθος ἐπικρατοῦν τὸ μὴ τοὺς συμφαγόντας ἀλλήλοις ποτὲ παρ' ἀλλήλων θνήσκειν | εἰ μή που τοῦτο ἀκουσίως συμβῇ. διὰ τοῦτο καὶ Προῖτος Βελλεροφόντην ἀνελεῖν οὐκ ἠθέλησε T πέμπει δὲ αὐτὸν ἐς Λυκίαν πρὸς Ἰοβάτην τὸν πενθερὸν γράμματα δοὺς αὐτῷ κατ' αὐτοῦ περιέχοντα *τὴν* τῆς Ἀντείας διαβολήν. καὶ Ἰοβάτης ‖ ὁμοίως θ' ἡμέρας αὐτῷ συνεστιώμενος ἦν | τὴν δεκάτην δὲ τὸ γράμμα διαδεξάμενος | ἐπεὶ μηδὲ αὐτὸς εἶχεν αὐτὸν ἀνελεῖν διὰ τὸ συμφαγεῖν μετ' αὐτοῦ | κελεύει τοῦτον ἀπελθ*εῖν καὶ* πολεμῆσαι Χιμαίρᾳ, εἶτα Σολύμοις, εἶτ' Ἀμαζόσιν. ‖ οἱ θεοὶ T δὲ τούτῳ ἐπτερωμένον ἵππον, ὃν φασι Πήγασον, ἀπεστάλκασιν, ᾧ ἐποχηθεὶς τὴν μὲν Χίμαιραν ἀνεῖλε | μόλιβδον τῷ αὐτοῦ δόρατι ἐπιθεὶς καὶ ἐμβαλὼν τῷ ἐκείνης πυρπνέοντι στόματι, ὑφ' οὗ πυρὸς ὁ μόλιβδος συντακεὶς ἐκείνην ἀπέκτεινεν |. ἦν γὰρ προιδόντα τινὰ τὸ πῦρ τῆς Χιμαίρας φυλάξασθαι, καθά φησι Λυσίας ὁ ῥήτωρ (fr. 101) μυθικῶς. T οὕτω γοῦν ἐκείνην ἀνεῖλε, τοὺς δὲ Σολύμους καὶ τὰς Ἀμαζόνας ἐν πολέμῳ. ὑποστρέφοντα δὲ ἐνέδρᾳ Λυκίων ἔμελλεν *αὐτὸν* ἀνελεῖν. ὡς δὲ καὶ τοὺς τῆς ἐνέδρας ἀνεῖλεν, Ἰοβάτης αὐτὸν γαμβρὸν ἔσχεν ἐπὶ Φιλονόῃ τῇ θυγατρὶ καὶ τελευτῶν αὐτῷ καὶ τὴν βασιλείαν καταλιμπάνει. | Βελλεροφόντης δέ, ὥς φασιν, ἐπαρθεὶς τοῖς κατορθώμασιν ἠθέλησε καὶ τὸν οὐρανὸν τῷ Πηγάσῳ περιπολεῖσθαι. Ζεὺς δὲ οἶστρον τῷ ἵππῳ τούτῳ ἐπιβαλὼν ἔπεισε τὸν Βελλεροφόντην ἀποσφαιρίσαι τῶν αὐτοῦ νώτων καὶ καταβαλεῖν *αὐτὸν* εἰς τὴν γῆν. καὶ δὴ περὶ τὸ Ἀλήιον πεδίον κατενεχθέντος Βελλεροφόντου καὶ περιπορευομένου τυφλοῦ ἀπὸ τῆς πτώσεως ὁ Πήγασος ἄνω περιεπολεῖτο καὶ κάτω. | ἡ γοῦν Ἡμέρα παρὰ Διὸς τοῦτον αἰτεῖται, ὡς ἂν ἐποχουμένη αὐτῷ τὸν ἡμερήσιον κύκλον βαδίζῃ.

---

1 ἀλκίμενον a m² γ1 ἀλκιμένιον γ2   12 τῇ δεκάτῃ II   17 μόλιβδον — 21 μυθικῶς — e *Mal.?   28 περιπολεῦσαι II   29× ἐποίησε?   34 βαδίζει a γ1

ταῦτά εἰσι τὰ ληρώδη καὶ μυθουργούμενα. | Ὅμηρος δέ φησι ἵππους Ἡμέρας Λάμποντα καὶ Φαέθοντα. | ἵππος δέ ἐστιν Ἡμέρας ἡ περιφέρουσα αὐτὴν ὀξεῖα τοῦ οὐρανοῦ κίνησις | ὑφ' ἧς λάμπει καὶ φαίνει. καὶ ταῦτα μὲν τὰ Ὁμηρικά· περὶ δὲ Περσέως καὶ Πηγάσου καὶ γοργόνων λεκτέον. ¦ Περσεὺς ὁ ἥλιός ἐστι *καὶ* ἡ ὀξυκίνητος τοῦ οὐρανοῦ κίνησις | Ἀθηνᾶ δὲ ὁ ἀὴρ | καὶ ἡ ἀναθυμίασις ἡ κινοῦσα τὸν οὐρανόν· ἐξ ἀναθυμιάσεων γὰρ κινεῖται. | Περσεὺς *δὲ* λέγεται παρὰ τὸ περισσῶς σεύεσθαι καὶ ὁρμᾶν. τοῦτον ἡ ἀερώδης ἀναθυμίασις αὕτη πέμπει ἐπὶ τὰς γοργόνας ἤτοι τὴν θάλασσαν καὶ τὸ σύστημα τῶν ὑγρῶν γοργόνα λεγομένων διὰ τὴν ταύτης κατάπληξιν. | γοργὸν γὰρ τὸ καταπληκτικόν.| πέμπει δὲ τοῦτον ἀνελεῖν τὴν Μέδουσαν, τὴν λεπτομερεστέραν οὐσίαν, ὡς ἐξισουμένην αὐτῇ. καὶ γὰρ ἡ πᾶσα θάλασσα ἀεροειδής ἐστι, τὸ δὲ λεπτότερον αὐτῆς εἰς ἀέρα μεταβάλλει. ὁ γοῦν Περσεὺς ἤτοι ὁ ἥλιος οὕτω κινούμενος τῇ οὐρανίᾳ φορᾷ τὴν Σθενὼ μὲν καὶ τὴν Εὐρυάλειαν ἤτοι τὸ δυνατὸν καὶ κατὰ μήκη πέλαγος *τῆς θαλάσσης* ἐκτεταμένον οὐκ ἀναιρεῖ ἤγουν οὐ μετατρέπει οὐδ' ἀνιμᾶται ὡς ἀθάνατον ὡς μὴ μετατραπῆναι δυνάμενον, τὴν δὲ Μέδουσαν μόνην ὡς θνητὴν ἀναιρεῖ πλήττων τῷ ξίφει ἤτοι τὸ βασιλικώτατον καὶ τῇ ὀξείᾳ κινήσει λεπτὸν μεταποιεῖ καὶ ἀνιμᾶται. τῇ δὲ καρατομίᾳ ἐκείνης ἐκ τοῦ τραχήλου ὁρμᾷ Χρυσάορ καὶ Πήγασος· ἀνιμωμένου γὰρ τοῦ ἡλίου καὶ τοῦ ἀέρος τὸ κεφαλαιῶδες, ὡς ἔφην, καὶ τὸ λεπτότερον καὶ ἀτμῶδες συμβαίνει τὸ βαρύτερον ἀναφερόμενον πάλιν κάτω πηγάζειν καὶ χέεσθαι, ὃ καὶ Πήγασον ὀνομάζουσι διὰ τὸ κατωφερές — κατωφερῆ γὰρ τὰ ἄλογα —, τὸ δὲ λεπτομερέστερον εἰς τὸ αἰθεροειδέστερον καὶ ἔτι εἰς τὸ πυρῶδες μεταβάλλειν, ὅπερ καὶ Χρυσάορα κεκλήκασι. | τούτῳ οὖν τῷ ἐξ ὕδατος Πηγάσῳ ἀναφερομένῳ τῇ κινήσει τοῦ οὐρανοῦ καὶ τῇ ἡλιακῇ ἀνιμήσει ἐποχουμένη συναναφέρεται ἡ Ἡμέρα· σφαιροειδὴς γάρ ἐστιν ὁ οὐρανὸς καὶ κινεῖται ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς συμπεριφέρων αὐτῷ τὸν ἥλιον, οὗπερ ἡλίου περιδινηθέντος εἰς τὸ ὑπὸ γῆν ἡμι-

15, cf. sch. — sch. Hes. — Diod. I — cf. Ap. — II 4 — sch. Eu — Phoen. 1 — sch. Hes. i

2 λάμπον ≡ a τ supra ν m² λάμπον II   4 ἐφ' b γ1   6 Περσεὺς — Matr. AG II 614₂₄   11 γοργόνη γ1 γοργόνην γ2   15 μεταβάλλεται a m²   18 κατάμηκ ≡ a ×κατάμηκες sch. Hes. l. l.   22 ἀναιρεῖ a   26 καταπηγάζειν sch. Hes. l. l.

*σφαίριον γίνεται νύξ, ἀπὸ δὲ τοῦ ὑπὸ θάλασσαν καὶ γῆν εἰς τὸ ἄνω ἀναδραμόντος ἡμισφαίριον, ὅθεν καὶ τοὺς λεχθέντας πηγάσους ἀτμοὺς ἀνασπᾷ, ἡμέραν ἐργάζεται. οὕτως ἡμῖν *τοῖς Τζετζίοις* δοκεῖ ἔχειν ταῦτα τὰ μυθουργήματα, τούτῳ τῷ Πηγάσῳ ὀχεῖσθαι τὴν Ἡμέραν, οὐ τῷ Βελλεροφόντου. | κἀκεῖνος δὲ οὐκ ἦν ἵππος — οὐ γάρ ἐστιν ὅπου τις ἐπτερωμένον* Palaeph 29 *ἵππον εὑρήσει — ἀλλὰ πλοίῳ ἐμβὰς | οὗ πτερὰ τυγχάνει* S 514 *τὰ λαίφη | Πήγασος δὲ ἡ κλῆσις ὡς διὰ τῶν πηγαζόντων* sch. He θ 274 *ὑδάτων νηχομένῳ | τὴν Χίμαιραν ἀναιρεῖ τὴν τρικέφαλον καὶ πυρίπνουν, ὅπερ ἀλληγορεῖται ῥητορικῶς· Χίμαιρα γὰρ ἦν *γυνή*, θυγάτηρ Ἀμισοδάρου περὶ τὸν τόπον Λυκίας τοπαρχοῦντος. αὕτη ἀδελφοὺς ἐσχήκει δύο Λέοντα καὶ Δράκοντα* cf. Her. 15? *καὶ τὰς τῆς Λυκίας εἰσβολὰς κατέχοντες μετὰ καὶ τῶν ὑπ᾽ αὐτοὺς ἀνῄρουν τοὺς παριόντας. διὰ γοῦν τὴν ὁμόνοιαν τρικέφαλον θηρίον τούτους ἐκάλεσαν, διὰ δὲ τὸ πολεμικὸν καὶ δραστήριον πυρίπνουν. τούτους γοῦν ὁ Βελλεροφόντης ἡττήσας μόλιβδον ἐμβάλλει τοῖς αὐτῶν στόμασι τουτέστι χα-* 16_{17} *λινὸν δουλείας. πρόσθεν δὲ ὁ Λέων ἐπολέμει, ἐκ τοῦ ὀπισθίου ὁ Δράκων καὶ κατὰ τὸ μέσον ἡ Χίμαιρα ὡς τούτων ἀσθενεστέρα. | ἢ καὶ ἄλλως τὴν Χίμαιραν νοητέον, ὡς Ὅμηρος ὑπεμφαίνει μικρὸν τοὺς Σολύμους ἔθνος μάχιμον, οὓς εἰκάζει καὶ λέοντι διὰ τὸ κατὰ πρόσωπον γενναιοτάτως μάχεσθαι, τὰς δὲ Ἀμαζόνας, ἃς εἰκάζει χιμαίρᾳ ἤτοι αἰγὶ διὰ τὸ κρημνοβατεῖν αὐτὰς δίκην αἰγῶν καὶ ἐν κρημνοῖς κατοικεῖν, τὴν *δὲ* ἐνέδραν τῶν Λυκίων τὴν κατ᾽ αὐτοῦ, ἣν διὰ τὸ λαθραῖον ὄφιν ἐκάλεσε.*

Πηγάσου πτεροῖς· ἀντὶ τοῦ εἰπεῖν ὅτι ἐκ τοῦ ὑπὸ γῆν καὶ ὕδωρ ἡμισφαιρίου σὺν τῷ ἡλίῳ ἀνῆλθεν ἡ ἡμέρα ἐκ τῶν μερῶν τοῦ ἑῴου Ὠκεανοῦ Πηγάσου πτεροῖς εἶπεν. ἡ δὲ τοῦ Βελλεροφόντου οὐρανόθεν ἐκ τοῦ Πηγάσου ἀποσφαίρισις τοῦτό ἐστιν· ἐπαρθεὶς τοῖς ἀνδραγαθήμασιν, οἷς τῷ πλοίῳ ἐκείνῳ εἰργάσατο, ἐδόκει τις ἡμίθεος εἶναι καὶ ὑψηλότερα τοῦ αἰθέρος ἐφρόνει. ἀντιπνευσάσης δὲ τῆς εἱμαρμένης αὐτῷ, ἣν Ὅμηρος Δία φησίν, αἴφνης ὁ εὐτυχὴς ἐκεῖνος ὁ τροπαιοῦχος δυστυχέστατος κατεφαίνετο· ἀποβαλὼν

---

9 *νηχομένου* an *νηχομένους a ἠχουμένων* γ2 cf. Hist. XII 422. *νηχόμενος*? Mueller

γὰρ τοὺς παῖδας καὶ ὥσπερ τυφλὸς γεγονὼς πενθῶν περὶ τὴν ἐρημίαν τῆς Λυκίας διῆγεν | ἥτις Ἀλήιον ἀπὸ τῆς ἐκείνου Z 201 ἄλης καὶ πλάνης ἐκλήθη |. ἢ καὶ τὰς φρένας ἀποβαλὼν καὶ τὸν νοῦν τυφλωθεὶς οὕτω διῆγε πλανώμενος· | κατὰ γὰρ Ἐπί- Plut. Mor. 336[b] χαρμον νοῦς ὁρᾷ, νοῦς ἀκούει, τὰ δ' ἄλλα τυφλά.

18 Τιθωνὸν ἐν κοίτῃσι· κατὰ τὸ μυθικὸν καὶ τὴν ἱστορίαν ὁ Τιθωνὸς ἀδελφὸς ἦν Πριάμου ἀμφιμήτριος·

Τιθωνόν· ἀπὸ Ῥοιοῦς τῆς Σκαμάνδρου θυγατρός ἐστιν ὁ Τιθωνός, ὁ δὲ Πρίαμος ἀπὸ Λευκίππης. s

ὁ μὲν γὰρ Πρίαμος ἦν Λευκίππης, ὁ δὲ Τιθωνὸς Ῥοιοῦς | ἢ Ap. bibl. III 146 Στρυμοῦς | τῆς Σκαμάνδρου θυγατρὸς υἱός,

ἀμφότεροι δὲ πατρὸς Λαομέδοντος |. φασὶ γοῦν ὅτι τὸν ib. ib. 147 Τιθωνὸν τοῦτον σύνευνον ἔσχεν ἡ Ἡμέρα, ἐξ οὗ γεννᾷ Μέμνονα καὶ Ἠμαθίωνα. | ἀθάνατον δὲ τὸν Τιθωνὸν ποιήσασα ἐπελάθετο ποιῆσαι καὶ ἀγήρω. γηράσαντα δὲ τοσοῦτον ὡς ἐν ταλάρῳ καὶ λίκνῳ αὐτὸν περιστρεφόμενον δίκην βρεφυλλίου καθεύδειν εἰς τέττιγα μετέβαλεν. | καὶ διὰ τοῦτο γοῦν φησι καὶ οὗτος ἐν τῇ κοίτῃ καταλεῖψαι αὐτὸν τὴν Ἡμέραν. καὶ ταῦτα μὲν μυθικωτέρως λέλεκται, ῥητορικῶς δὲ πρότερον ἀλληγορητέον· ὁ Τιθωνὸς οὗτος περὶ τὴν ἡμέραν καὶ τὰ ἑῷα ἐπιγαμβρεύσας παῖδας ἔσχε τοὺς προρρηθέντας, πολυχρονιώτατος δὲ τοσοῦτον ἐγένετο ὡς ὑπὸ γήρως τοῦτον τρύχεσθαι ταλάρῳ καθήμενον. ἐμυθεύσαντο γοῦν ὅτι ἡ Ἡμέρα τουτέστιν ἡ εὐκρασία τῶν ἑῴων μερῶν καὶ σύνευνον τοῦτον ἔσχε καὶ ἀθάνατον ἐποίησεν ἢ ἡ Ἡμέρα καὶ τὸ φῶς τοῦτον ἠγάπησε, διὰ τὸ ὑπέργηρον αὐτόν, ὡς ἔφην, γεγονέναι. ὅθεν καὶ εἰς τέττιγά φασιν αὐτὸν μεταβληθῆναι.

οἱ γὰρ τέττιγες ὥσπερ | οἱ ὄφεις | γεγηρακότες ἀποβάλλουσι S 793 τὸ γῆρας †T. ‖ καὶ ταῦτα μὲν ἠλληγορήθη ῥητορικῶς· φυσικῶς δὲ ἤδη λεκτέον· Ἠὼς τὸ πρωινὸν κατάστημα | Τιθωνὸς δὲ τὸ sch. ε2 τῆς ἡμέρας κατάστημα, ὅτε τιθέασι τὰ ὤνια | καὶ ἐπὶ τὰ ἔργα χωροῦσιν οἱ ἐργαζόμενοι. ὅθεν καὶ Ἡμέρας ἀνήρ, ὅτι τὰ ἀνδρώδη καὶ ἐργατικὰ ἐν αὐτῇ γίνονται, οὐχ ὥσπερ ἐν τῇ νυκτὶ τὰ θηλυπρεπῆ καὶ ἀνέσιμα. οὕτω μέν, ὡς ἔφην, Τιθωνός

---

9 κασάνδρου s corr. *Robert* 10[b] Στρυμοῦς erasum *b* om. *γl*
33 αὐτῷ *γl*

*ἐστιν ἡ ἡμέρα, μᾶλλον δὲ *ἐκεῖνο* τὸ τῆς ἡμέρας κατάστημα, ὁπότε τὰ ὤνια προτίθενται καὶ αἱ ἀγοραὶ ἵστανται. οὗτος δὲ μυθικῶς εἶπε Τιθωνὸν Πριάμου καλῶν αὐτὸν ἀδελφὸν ἱστορίαις καὶ μύθοις μόνοις θέλγειν τοὺς νέους βουλόμενος.*

κοίτησι κοίταις· | *ἰωνικῶς δὲ ἐτράπη τὸ ᾱ εἰς η̄ καὶ μένει τὸ προσγεγραμμένον.* | EG 6

Κέρνης· Κέρνη νῆσος Ὠκεανῖτις, ὁπόθεν ὁ ἥλιος δοκεῖ ἀνατέλλειν. T *Κέρνη νῆσός ἐστι* | *περὶ τὸν Ὠκεανὸν κατὰ ἀνατολὴν* | *ἄκραν, ᾗ καθεύδει ὁ Τιθωνὸς μετὰ τῆς Ἠοῦς· ὑποκάτω δὲ τὸ Φήγιον, οὗ τὸν Πήγασον ἵππον ἐποχεῖται ἡ Ἡμέρα μέλλουσα διέρχεσθαι κατὰ τὴν γῆν. πτερωτὸν δὲ τοῦτον τὸν ἵππον παρίστησιν ὁ ποιητής* (Hes. Θ 284). cf. 1(

19 **τὸ ἀμφιμήτριον ἐρρέθη**. T

P 20 *οὖσα* | *τὰ σχοινία* | *οἷς φέρεται ἡ ναῦς οἱονεὶ οἰσά τινα ὄντα* | *παρὰ τὸν οἴσω μέλλοντα* | *δηλοῦντα τὸ κομίσω.* ⨯ Eg (EG 442₃₅ EM 642₄₃ EO 123₁₅) *οἴσυια γάρ ἐστιν.* s²

οὖσα τὰ σχοινία παρὰ τὸ οἴω τὸ κομίζω οἶσα | *καὶ τροπῇ τοῦ διχρόνου εἰς δίχρονον καὶ* | *ἰωνικῶς* | *οὖσα.* T *ἢ τὰ ἀπὸ οἰσύας φυτοῦ ἤτοι λύγου· πρότερον γὰρ ἀπὸ λύγου σχοίνους ἐποίουν πρὸ εὑρέσεως τῆς κανάβης.* s⁴? EM (

